## ΑΝΑΚΟΙΝΩΣΕΙΣ ΜΕΛΩΝ

**ΙΑΤΡΙΚΟΙ ΚΩΔΙΚΕΣ.– Metrodora's work «on the feminine diseases of the womb» according the Greek codex 75,3 of the Laurentian Library***, *by Aristotle P. Kousis.*

I have the honour to communicate to the Academy of Athens the text of the greek work of Metrodora on (feminine) diseases of the womb, wich are contained in the greek codex 75,3 of the Laurentian Library at Florence.

There can be no doubt that during the most ancient times of mankind, except in cases of simple manipulations of wounds, first relative to Medicine the accomplishment of childbirth was practised in these oldest times by the parturient herself, and later, with the help of another woman skilful in this matter owing to one or more childbirths of her own.

Moreover later some women especially trained in this management, began to show more experience as midwives, and have an ampler scope to their valuable services. Renowned in Athens was Fainarete, the mother of Socrates, whom Plato praises in a peculiar manner, as well as by the Hebrews the most philanthropic Shiphirah and Fuah, that God blessed, «dealt well with the midwives» as the Old Testament cites (Exod. 1,15 and 20). In Greece moreover the midwives being better instructed not only accomplished simple normal confinements, but also intervened in irregular ones undoubdtedly under the direction or the orders of a physician. Some of them after having learned and practiced near skilful physicians, and applied industriously to the study of general works of medicine, acquired not only knowledge about general medicine questions, but also wrote on such matters evidently from the works of the ancient physicians. Galen, Plinius, etc. not only cite names of such women-physicians, but also gave remarkable excerpts of their works or some pharmaceutical compositions. Besides it is evident that such authoresses not only engaged themselves and wrote about Midwifery and Gynaecology, but also interested themselves to other necessities of the sexual sphere of woman, as well as taking care of their embellishment.

---

* ΑΡ. Π. ΚΟΥΖΗ. — Μητροδώρας, τὸ περὶ γυναικείων παθῶν τῆς μήτρας ἔργον κατὰ τὸν ἑλληνικὸν κώδικα 75,3 τῆς Λαυρεντιανῆς Βιβλιοθήκης.

Among the works of such authoresses, who have been engaged in Midwifery, is the work of Metrodora, under the title: «Περὶ τῶν γυναικείων παθῶν τῆς μήτρας», mentioned in only one greek codex in the Laurentian Library.

The Laur. Plut. under N° 75 was written in the 12th century on a small 8° format parchement with round letters, «neque inellegantis», as cites Bandini. Metrodora's work was the third treatise in it from folio 4v till 33v [1].

Metrodora's work remains as yet unedited as Dreichgräber in his article «Metrodora» in the Real-Encyclopedia from Pauly-Wissowa cites (Ed. 1932, Vol. XV, Col. 1474) and as I previously mentioned in my communication to the Academy of Athens on account of another unedited work, this of Theophilos. (P. A. A. vol. 19 (1944), p. 35 f.).

Metrodora's work was prescribed 270 years ago at first by A. M. Bandinius in his Catalogue of the Greek Codices of the Laurentian Library (Ed. 1770 at Florence, Vol. III, p. 145). 80 years later, in 1851, the eminent French Professor Charles Daremberg, cited in the introduction of the first volume (p. XXV) of his excellent edition of the works of the byzantine medical author Oribasius, that he had already copied this unedited text and he intended to publish it with some other manuscripts[2].

But after the premature death of this wise man, who with Charles Littré have offered great services to greek science by their editions of the most important works of the ancient greek physicians, not only was this work never published, but the copy was also lost. It was not found among the manuscripts of this eminent man, which were bequeathed to the French Academy of medicine, by the Greek lecturer at the University of Athens George Costomiris, who wrote on it in his excellent treatise about the ancient unedited medical greek manuscripts in the «Rev. des études grecques» (Vol. III (1890), p. 147).

Later (1906) in the Handschriften der antiken Ärzte (by Diels, Vol. III, p. 65) Metrodora's work was cited with a remark that E. O. Wistel at Oxford had a copy of it.

That is 55 years after Daremberg and 135 years after Bandinius, Dr. Skevos Zervos in the Panhellenic med. Congress referred to manus-

[1] During my sojourn in Florence I took photo copies of the treatise.

[2] Late Prof. K. Weigel also applied himself to this Metrodora's Codex.

cripts, he had first discovered, among them Metrodora's work, giving also one part of its 4th Chapter[1]. Soon after «Archives of Medicine», issued by me, where this communication was first inserted, quoted all the known sources, showing that this manuscript, as well all the others, were not unknown. Since then nothing has been written on this work.

Metrodora's treatise is composed of 108 chapters in great part very brief; most of them concern the illnesses of the womb, others to the illnesses of the mammae or the troubles of secretion of milk and other sexual necessities; the rest refer to illnesses of the stomach, pharmacological preparations and therapeutical or embellishing recipes. C. Daremberg wrote that the whole treatise «ne consiste qu'en recettes». Some of the chapters are divided into other smaller under a new numbering, beginning with the letter α.

The text is full of shortwritings and orthographical errors and has further more suffered from moisture and time. On folio 27 of the parchement is a small hole and another smaller one on folio 30. Such being the case, it behoved me to have recourse to the ancient Greek authors and from them to fill the deficiencies where such were required and were capable of being so. Wherever, it was unachievable and the text was effaced or entirely undistinguishable I have left empty blanks or put signs of omission. These slightest and very unimportant deficiencies of the text concern mostly to recipes or pharmacological substances.

The text of the work is as follows:

### ΕΚ ΤΩΝ ΜΗΤΡΟΔΩΡΑΣ, ΠΕΡΙ ΤΩΝ ΓΥΝΑΙΚΕΙΩΝ ΠΑΘΩΝ ΤΗΣ ΜΗΤΡΑΣ

f. 4v Τῶν γυναικείων παθῶν πολλῶν[2] τε καὶ ποικίλων ὑπαρχόντων, πάντων δὲ ὡς εἰπεῖν περὶ
f. 5r τὴν μήτραν συνιστωμένων, ἀ|ναγκαίως καὶ ταῦτα ἀναγράψαι ἐν τοῖς πάθεσιν αὐτῆς συμβαί-
νοντα συμπτώματα. τὰ μὲν γὰρ αὐτῶν δυσίατα καὶ παντελῶς ἀνίατα γίγνεσθαι πάθη, ἅπερ διὰ τῆς σημειώσεως ἕκαστον τούτων γνωσόμεθα. Λοιπὸν ἀπὸ τῶν ***ὑστερικῶν πνιγῶν*** τὴν ἀρχὴν ποιησώμεθα.

Ἐπειδή περ ὡς ἐπὶ τὸ πλεῖστον ταῖς πολλαῖς γυναιξὶ συμβαίνουσιν ὑστερικαὶ πνῖγες, τὴν ἀρχὴν ἐκ τούτων ποιησώμεθα. Ἐπὰν δὲ αἱ ὑστέραι κινηθῶσι προσπίπτουσιν ἀλλήλαις, ὅθεν ὀδυνήματα καταρρίπτουσιν ἰσχυρά· ἐκ τῶν ὀδυνημάτων, εἰ μὴ ταχεῖαι λύσεις γίνονται,

---

[1] *Ἀρχεῖα Ἰατρικῆς*, v. II, 1906, p. 127 and S. Zervos, Das unveröffentlichte mediz. Werk der Metrodora. Südhoffs Archiv für Gesch. der Med. Vol. 3 fasc. 2, p. 141 and «Πανηγυρικὸν τεῦχος καθηγητοῦ Κ. ΚΟΝΤΟΥ» σελ. 112.

[2] πολλά.

διαπυήσουσιν αἱ ὑστέραι τῷ χρόνῳ εἰς ταῦτα τὰ χωρία. Ὁπόταν οὖν αἱ ὑστέραι προσπέσωσι πρὸς τὰ ὑποχόνδρια πνιγμὸν ἐμποιοῦσι, ὥσπερ ἐξ ἑλλεβόρου, καὶ καρδιωγμὸς εὐθὺς ἐμπίπτει ἰσχυρός, ἐμοῦσι δὲ ὁπόταν σίελον πολὺν καὶ τὸ στόμα ὑδατώδους ἐμπιπλᾶται, καὶ τὴν κεφαλὴν καὶ τὴν γλῶτταν νάρκη ἔχει· τὰς δὲ τοιαύτας εἶναι ἀφώνους | καταλάβεις καὶ f. 5v



τοὺς ὀδόντας συνεστραμμένους[1], πρὸς δὲ τὰς ὑστέρας δὸς προστιθέναι ἔριον πρὸς τὸν κύκλον ἐλαίῳ μυρσίνῳ ἀποβάπτων ἢ μαρασκίνῳ ἢ κρίνῳ ἢ ἄλλῳ τι τῶν εὐωδῶν μύρων, εἰς δὲ τὰς ῥῖνας πρόσαγε ἄσφαλτον ὑποθυμιῶν ἢ κέρας αἰγὸς μελαίνης ἢ μελάνθιον ἢ καστόριον, καὶ τὰς ῥῖνας ἄλειφε. τὸ δὲ ἔριον προστίθει συνεχῶς, ἵνα μὴ πάλιν ὑποστρέψῃ τὸ πάθος. Εἰ δὲ

[1] συνεστραμμα

κάτω νεύονται[1] αἱ ὑστέραι, βουβὼν ἔσται καὶ τῆς οὐρήθρας ὀδύνη ἰσχυρὰ ἐπιγίνεται καὶ νάρκη ἐν τοῖς σκέλεσιν, ἐνίοτε καὶ τὸν οὐρητῆρα ἀποφράσσεται. Ταῦτα οὖν χρὴ θεραπεύειν· πρὸς μὲν τὰς ῥῖνας τιθέναι τὰ εὐώδη πάντα, κιννάμωμον στάχυν, ζιγγιβέρεως φύλλον καὶ πᾶν εὐῶδες, εἴ τι ἔχεις· πρὸς δὲ τὰς ὑστέρας προστιθέναι ἡδύοσμον θυμιῶν, καὶ ταύτῃ τῇ μεθόδῳ χρῶ, ἕως ἂν ἀποκαταστήσῃ. Ταῖς δὲ ἐν τῇ ἀκμῇ χηρευσάσαις ἢ παρθένοις, παραδραμούσαις τὸν δέοντα τοῦ γάμου καιρόν, διὰ στέρησιν πασχούσαις τὴν ὑστέραν, διὰ τὸ ἀργῆσαι
f. 6r τῆς κατὰ φύσιν ἐπιθυμίας, συνίστανται πάθη[2] πλεῖστα· καρδιωγμός, ἔμετος, σιέλου[3] στόμα πληροῦται καὶ τὰ σκέλη περιψύχονται, τὴν κεφαλὴν καὶ τὴν γλῶτταν ναρκώδης ἐπέχει καὶ ἁπλῶς εἰπεῖν ὅσα ταῖς ὑστερικαῖς πνιγαῖς συνίσταται πάθη. Χρὴ τοίνυν θεραπεύειν οὕτως: Πρῶτον μὲν ἐπίστασθαι[4] πρὸς τὸ κατεπεῖγον πάθος κεχρῆσθαι, ὅσα προεῖπον ἐπὶ τῶν ὑστερικῶν παθῶν. Καὶ ταύταις[5] μὲν ἡ μήτρα μεθισταμένη τὰ αὐτὰ συμπτώματα ἀπεργάζεται καὶ μάλιστα ταῖς χηρευσάσαις, ταῖς δὲ παρθενευούσαις βοηθεῖν[6] χρὴ οὕτως ἐμπρὸς θέμασι (sic) κηρωταῖς διὰ νίτρου καὶ καρδαμώμου· καὶ πάντων ἀναλειωθέντων[7] καὶ ἐμπλάστρῳ ποιηθέντων, πρόσαγε [τοῦ] κατὰ τοῦ γυναικείου αἰδοίου· κατασπᾷ γὰρ ὑδατώδη τινὰ καὶ τῆς νόσου ἀποπαύει.

γ′. ***Εὐφραντικὰ πρὸς τὰς ἀφώνους γυναῖκας.*** Δεῖ τὰ θυμιούμενα ἐπ' ἀνθράκων ἐπιβάλλειν, συνάγειν καὶ κελεύειν ἀνασπᾶν τῇ εἰσπνοῇ τὰς ἀναθυμιάσεις, οἷον γαγάτην λίθον,
f. 6v κέρας αἰγός, καστόριον | ... πήγανον χλωρὸν συλλέξας πρόσφερε. *ἄλλο* ... θεῖον συλλειώσας πρόσφερε, στρουθίου ῥίζαν πρόσφερε.

***Πότημα πρὸς τὰς ὑστερικὰς πνῖγας.*** — Καστόριον σὺν οἴνῳ πότιζε, πήγανον λειώσας μετὰ μέλιτος πρόσθες. ***Ἄλλο.*** Κόπρον χοιρείαν χυλίσας μετὰ ῥοδίνου ἐν πεσσῷ προστίθει — τήλην βρέξας οἴνῳ λειώνειν καὶ μέλι θερμάνας ἐπίβαλε.

***Πρὸς φλεγμονὰς μήτρας.*** Τὰς ὑστερικὰς προετάξαμεν πρῶτον, τὰ συμβαίνοντα συμπτώματα τε καὶ βοηθήματα, ἐπανέλθωμεν καὶ πρὸς τὰς τῆς μήτρας φλεγμονὰς διασημαίνων τὴν ἑκάστῳ μορίῳ εὐπάθειαν. Ὅλης μὲν φλεγμαινούσης παρέπεται πυρετὸς ὀξὺς περὶ τὸ ὑπογάστριον καὶ σκληρία καὶ πόνος ὀσφύος καὶ στομάχου ἀνατροπὴ καὶ ὄγκωσις καὶ ἔμετος φλεγματώδης καὶ ὀξώδης καὶ χολώδης καὶ δυσουρία καὶ ἐποχὴ κοιλίας καὶ ἀνορεξία καὶ δίψα καὶ γλώσσης τραχύτης καὶ μελανία, ὥσπερ ἀπὸ μέλανος βεβαμμένη καὶ πόνος ἰνίου, ἀκρω-
f. 7r τηρίων ψῦξις· | ἐὰν οὖν θέσῃς τὸν δάκτυλον εἰς τὸ... αἰδοῖον αἰσθάνεται θερμασίας, ἀλλὰ καὶ ξηρότητος καὶ μύσεως καὶ ... τοῦ στόματος τῆς μήτρας.

***Πῶς δεῖ βοηθεῖν.*** — Πεσσὸν ποίησον πρὸς τὰς τῆς μήτρας φλεγμονὰς καὶ προστιθέναι νάρδου ἰνδικῆς· ἔγκλυζε βούτυρον καὶ μυελὸν ἐλάφειον μίξας ὁμοῦ· πρόσθες ἐν πεσσῷ καὶ κατάπλασσε ἀλθαίας φύλλα χλωρὰ καὶ τήλην καὶ λινόσπερμα καὶ στέαρ χήνειον λειώσας μετὰ στίμμεως προστίθει. ταῦτα μὲν τὰ βοηθήματα ὅλα τῆς φλεγμονῆς τῆς ὑστέρας. μεταβῶμεν καὶ ἐπὶ τὰς κατὰ μέρος αὐτῆς φλεγμονάς. Τοῦ πυθμένος πάσχοντος πολλάκις παρακολουθεῖ καὶ πυρετὸς καὶ ἔμετος καὶ ναυτίαι καὶ σίελοι καὶ ἄλγημα στομάχου καὶ κεφαλαλγίαι· ἐὰν δὲ ἐπιθήσῃ τὸν δάκτυλόν σου καὶ ἅψηται τοῦ στόματος τῆς μήτρας, ψυχρῶν ὄντων τῶν μερῶν τοῦ δὲ κύτους αὐτῆς πάσχοντος, τῆς μήτρας ψυχρόν ἐστι τὸ στόμιον· εἰ μὲν ἔμπροσθεν, ἄλγημα
f. 7v παρακολουθεῖ καὶ σκληρία καὶ ὄγκος, κατὰ δὲ τὸ ὑπογάστριον πόνος ἰσχυρὸς καὶ οὐ|ρων ἐποχὴ καὶ στραγγουρίαι καὶ ὀσφύος ἄλγημα καὶ σκυβάλων ἐποχὴ καὶ μάλιστα, ὅταν ὁ τράχηλος τῆς

---

[1] χεύονται [2] πάση [3] σίελον [4] ἐπίστασθε [5] ταύτης [6] βοηθῇ [7] ἀναλιωθέντων.

*μήτρας φλεγμαίνῃ, ταῦτα συνεδρεύει καὶ ὅσα ἐν τοῖς ἔμπροσθεν λέλεκται.* Ἐπὶ μὲν ἔμπροσθεν φλεγμονῆς ἀντιλήψεται τοῦ στομίου, ἐπὶ τά γε ἕλκη[1] (sic) ἑλκομένου[2] ἐπὶ τὰ φλεγμαίνοντα μόρια· καλεῖται δὲ τοῦτο διαστροφή. Ἐπὶ δὲ τῆς ὀπίσω φλεγμονῆς, εἰς τὰ ὀπίσθια μέρη ἡ διαστροφὴ γίνεται· τῶν δὲ πλαγίων πασχόντων, πλαγία γίνεται ἡ διαστροφὴ τοῦ στόματος τῆς μήτρας. Ταύταις τοίνυν συμβαίνει τὸ κατ' εὐθὺ τῆς φλεγμονῆς σκέλος ἀλγεῖν καὶ οἰδαίνειν καὶ κατὰ τὰς λαγόνας καὶ πλευρὰς ὀδυνήματα ἔχειν. Τοσαῦτα μὲν οὖν σημεῖα συμβαίνει καὶ ὅλῃ φλεγμαινούσῃ καὶ κατὰ μέρος· τὰ δὲ βοηθήματα ἀκολούθως, ὡς προ[σ]λέλεκται, προστίθει· βούτυρον καὶ μυελὸν ἐλάφειον καὶ στέαρ χήνειον ἢ ὀρνίθειον, συμμίξας ὁμοῦ καὶ ποιήσας πεσσὸν ἐξ ἐρίου προστίθει. Τὰς δὲ ἐν τῇ χρήσει πασχούσας[3] τὴν μήτραν ἀνδρο|κοιτούσας τὸ f. 8r
πρόσωπον φλεβοειδὲς ἔχουσι μᾶλλον ἢ χλωρὸν ἐν ταῖς ἀρχαῖς· ὕστερον δὲ ἐπιμένοντος τοῦ πάθους ὠχρῶνται τῇ[4] τῷ στόμα⟨τι⟩ τῆς μήτρας φλεγμονῇ, μᾶλλον δὲ ἐξωσθείσῃ[5] ἔσωθεν· σημεῖον δὲ ταύταις[6] κανθὸν τῶν ὀφθαλμῶν πάσχειν. Θεράπευε τοίνυν ταῦτα οὕτως. Λαβὼν γυναικὸς ἀρρενοτόκου γάλα καὶ μύρον ῥόδινον, ἴσα ἅμα ἀνακόψας καὶ θερμάνας, ἐν πεσσῷ ἀναλαβὼν πρόσθε⟨ς⟩ ἐν τῷ στόματι τῆς ὑστέρας ἢ ᾠοῦ τὸ πυρρὸν λειώσας μετὰ ῥοδίνου ἐν πεσσῷ ἀναλαβὼν ἐπίθες. ***Ἄλλο.***— Λιβανωτοῦ Γ° β΄, στέατος χηνείου Γ° β΄, βουτύρου Γ° β΄, μέλιτος τὸ ἀρκοῦν ποιήσας πεσσὸν προστίθει.

***Ἄλλος πεσσὸς ἀρωματικός.*** Σχοίνου ἄνθους, ξυλοβαλσάμου ἀ͞ᾱ Γ° β΄, κόστου Γ° ς, ζυγγιβέρεως, κρόκου ἀνὰ Γ° β΄, καλάμου ἀρωματικοῦ Γ° ς΄, μετὰ μέλιτος τὸ ἀρκοῦν.

***Ἄλλος πεσσός.*** Τερεβενθίνης Γ° ις΄, σταφίδος ἐκγιγάρτης Γ° ις΄ συγκόψας προστίθει.

***Πρὸς τοὺς ὑπογαστρίους πόνους καὶ νυσσωμένας ὑπὸ ἀσπίδος.*** — Σέλινον τρί|ψας ... f. 8v
μετὰ στέατος χηνείου, ἐν πεσσῷ ἐντίθει. ***Ἄλλο.*** Ὀποβαλσάμου, σταφίδων γιγάρτων(;) ἴσα λειώσας μετὰ κηροῦ καὶ μυελοῦ ἐλαφείου Γ°δ΄, ὑσσώπου Γ°β΄, κρόκου Γ° β΄, τερεβενθίνης Γ° β΄, στέατος χηνείου Γ° β΄, ᾠῶν λεκίθων Γ° δ΄, ῥοδίνου μύρου[7] τὸ ἀρκοῦν: ***Ἄλλο.*** Μέλιτος, βουτύρου, ἐλαίου κυπρίνου, τερεβινθίνης ὁμοῦ λειώσας, πρόσθες.

***Πρὸς τὰς τῆς μήτρας ἀποστάσεις.*** Ὅσαις ἐν τῇ ὑστέρῃ γίνονται ἀποστάσεις, ταύτης ἀρχομένης[8] οἱ μασθοὶ τῆς γυναικὸς οἰδαίνουσι καὶ σκληροὶ γίνονται καὶ πυρετοὶ καὶ φρίκαι σημαίνουσι καὶ ῥεῦμα θερμὸν διὰ τοῦ[9] αἰδοίου καταρρέει. Αἱ τοιαῦται θλιβόμεναι οὐκ ἀνέχονται, ἕως ἂν ῥαγῇ τὸ ἀπόστημα καὶ τὸ πύον ἐκκριθῇ· εἶθ' οὕτως παύονται κατὰ μικρὸν τοῦ περιεστῶτος πόνου· ἐρεύγονται[10] δὲ αἱ τοιαῦται πυκνά, ὀξώδη καὶ ὑπόπικρα· ἀνορεξία δὲ σιτίων ἔχει τὰς τοιαύτας· αἱ τοίνυν πλεῖσται τούτων ἀγωνιώμεναι διαμένουσιν. Θεράπευε τοίνυν οὕτως· μυρσίνης κλώ|νους καὶ κυπαρίσσου, νάρδου στάχυος τούτῳ συνεψήσας ... νίτρου f. 9r
καί ... ⟨λί⟩τραν κατὰ δὲ τοῦ ... ⟨πά⟩λιν οἴνου καὶ ἐπάλειφε βούτυρον ἢ μυελὸν ἐλάφειον καὶ στέαρ χήνειον ἢ ὀρνίθειον.

***Πρὸς τὰς τῆς μήτρας σκληρώδεις διαθέσεις.*** Ὅσαις ἐν τῇ ὑστέρῃ γίνονται σκληρώδεις διαθέσεις ταύταις παρακολουθεῖ πυρετὸς καὶ φρίκαι καὶ σκληρία καὶ ὄγκος κατὰ τὸ ὑπογάστριον καὶ ἀπομένει λιθώδης ὑποπίπτων αἰσθήσει[11]· τινὲς μὲν σκληρὸν ὠνόμασαν, τινὲς δὲ μύλον καλοῦσιν διὰ τὴν πρὸς τὸν λίθον ὁμοίαν σκληρίαν ὑποπίπτειν. Συμβαίνουσι δὲ πόνοι κύστεως καὶ ἕδρας καὶ ὅσα ἐν ταῖς ἀποστάσεσιν εἴρηται. Θεράπευε τοίνυν οὕτως· πρὸς τὸ μαλακυνθῆναι τὴν τοῦ ἕλκους σκληρίαν ἐπιτίθει κηρωτὰς[12] διὰ στεάτων καὶ ῥητίνης καὶ βουτύρου καὶ ὅσα ἄλλα ἐν ταῖς ἀποστάσεσιν[13] εἴρηται.

[1] ἐπὶ τα γε ἕλκει [2] ἑλκόμεναι [3] πασχούσῃ [4] ταῖς [5] ἐξώσθῃ [6] τούτοις [7] Μύρον [8] ταύτῃ ἀρχομένῃ [9] διὰ τὸ [10] ὀρεύγονται [11] αἰσθησάς [12] κηρωταῖς [13] ἀποστάσεις.

*Πρὸς τὰς τῆς μήτρας καρκινώδεις διαθέσεις.* Ταῖς δὲ ἐχούσαις ἐν ταῖς ὑστέραις καρ-
f. 9v κινώδεις διαθέσεις | ἐπιγίνονται συμπτώματα τοιαῦτα· πόνοι κύστεως καὶ ἕδρας. ὥστε ξύλον καὶ ἄκανθαν ἔχειν ἐν τῷ στόματι τῆς μήτρας· γίγνεται δὲ ἐνίοτε ⟨κατὰ⟩ καιροὺς ἔμετος, σὺν τῷ ὄρω, ὥστε δοκεῖν ἰδέσθαι αὐτούς, θεραπεύων οὕτως. Πρὸς μὲν τοῦ μαλακυνθῆναι τὴν τοῦ ἕλκους σκληρίαν ἐπιτίθει σεύτλου ἀγρίου καὶ στυπτηρίας σχιστῆς καὶ νίτρου ἑλληνικοῦ· ταῦτα τρίψας κατάπλασσον καὶ πάντα τὰ πάθη καὶ ἕλκη καρκινώδη ἐν τῇ μήτρᾳ καὶ ἐν παντὶ σώματι· μετὰ δὲ τοῦτο ἐπιτίθει στρύχνου χυλὸν μετὰ στέατος χηνείου τὸ ἴσον ἐν πεσσῷ.

ια΄. **Πρὸς ῥοῦν γυναικεῖον λευκὸν καὶ ἐρυθρόν.** Ὁ γυναικεῖος ῥοῦς ῥευματισμὸς ἐστι τῆς ὑστέρας πολυχρόνιος αἰσθητός, ἀποκρινομένου πλείονος ὑγροῦ ὑδατώδους ἢ ἐρυθροῦ, αἱματώδους ἢ καὶ μέλανος, χωρὶς ἀλγήματος, ἐσθ' ὅτε δὲ καὶ ⟨με⟩τὰ ὀδύνης καὶ δυσπνοίας καὶ ποδῶν οἰδήματος καὶ πόνου[1] περὶ τοὺς ὀφθαλμούς· τοὺς δὲ κανθοὺς ὑποχλώρους ἔχει.
f. 10r καὶ τὴν κεφαλὴν ὑπόθερμον, | περὶ δὲ τὸ ὅλον σῶμα γλίσχρος πυρετός, ἄτακτος ἐπιγενόμενος· θεράπευε τοίνυν οὕτως· φελλὸν παλαιότατον ἐκ κεραμίου ἀνελόμενος κατάκαυσον εἰς κληματίδα, καὶ τρίψας δίδου κόκκους β΄, μετὰ ὀξυκράτου κύαθον α΄, πρωΐ καὶ ὀψέ μετὰ γυναικείου γάλακτος· προστίθει ἐξ αὐτοῦ ἐν πεσσῷ.

ιβ΄. **Πρὸς τὰς ἐν τῷ στομίῳ τῆς μήτρας συνισταμένας αἱμορραγίας.** Συνίστανται δὲ περὶ τὸ στόμιον τῆς μήτρας αἱμορραγίαι, τῶν καταμηνίων στελλομένων καὶ τοῦ αἵματος περὶ τὰς πλοκὰς τῶν φλεβῶν καὶ τῶν νεύρων συνισταμένου[2] καὶ ποιοῦντος σαρκὸς ὑπεροχήν, ἐοικυῖα⟨ν⟩ μώρῳ διατετρημμένῳ, δι' οὗ[3] τὸ αἷμα ἐκκρίνεται. Δεῖ τοίνυν χρῆσθαι διοπτρισμῷ[4], ἵνα τὸν τόπον γινώσκων ἐκεῖσε τὰ βοηθήματα ἐπιβάλλῃς. θεράπευε τοίνυν οὕτως, λαβὼν ἀκανθοκεράτια, κόψας καὶ ποιήσας ξηρίον ἐπίπασσε καὶ ἀποξηρανθήσεται.

f. 10v ιγ΄. **Πρὸς πεσοῦσαν μήτραν.** Προσπεσούσης δὲ τῆς ὑστέρας ἔξω, ἀ νάρροπον (;) κατακλίνας, βούτυρον θερμὸν ἔγχεε τῇ μήτρᾳ, εἶτα ῥοδίνου διαχρίου· γενομένης δὲ... καστόριον μετὰ βουτύρου καὶ τὰ σκέλη ἀνι..., ἵνα μὴ χωρήσῃ ἔξω. ἐγχυμάτιζε δὲ διὰ μητρεγχύτου, ὅπως βάλῃς τὴν μήτραν, κικίδην, στυπτηρίας, οἴνου μέλανος τὸ ἀρκοῦν θερμάνας ἐγχυμάτιζε. ὅταν δ' ἐγκλυσθῇ ἔσω, πλέξας αὐτῆς τοὺς πόδας ἔνδυσον[5] ἀπλῷ[6] δεσμῷ. ἀνακείσθω δὲ ἐπὶ κλίνης ἀνάρροπος, ἄνω μὲν τοὺς πόδας, κάτω δὲ τὴν κεφαλήν, ἕως ἂν αὐτὴν ἀποκαταστήσῃς.

ιδ΄. **Πρὸς ὑστέραν προβάλλουσαν ἐκ τῆς προπτώσεως καὶ διὰ τοῦτο οἰδαίνουσαν.** Ὅταν χρονίσῃ ἡ ὑστέρα ἐκπεπτωκυῖα ἔξω καὶ ἐνοιδήσῃ καὶ μεστὴ γένηται ὑγροῦ ἰχωρώδους, προσπυρία (sic) σεύτλου ἀποζέματι καὶ μετὰ τὴν κατάντλησιν ὄξος δριμὺ ἐπίχυσον κατὰ τῆς ὑστέρας καὶ μετὰ τὴν ἐπίχυσιν τοῦ ὄξους, ἅλας λεπτὸν ἐπίπασσον. ὅταν δὲ συντακῇ τὸ ἅλας περιπλυνέτω τῷ σεύτλου ἀποζέματι καὶ ἀνάσπα κατὰ τὸν προειρημένον τρόπον ἅμα τῇ πυρίᾳ,
f. 11r ἐπιμελείσθω δὲ δεῖ τῆς κοιλίας καὶ διαίτης ὅπως μὴ ... ῥοθῶσι πρὸς ... μύρων :

ιε΄. **Πρὸς πεσοῦσαν μήτραν.** Σεύτλου ἀφεψήματι ἢ τήλεως ἢ λινόστεως ἢ τῶν τοιούτων κλυστήρων τὴν... μήτραν διάχριε κεδρίνῳ ἐλαίῳ ἢ μυρσίνῳ ἢ οὔρῳ παλαιῷ[7] ἢ ὑποστάθμῃ οὔρου[8]. ***Ἄλλο.*** Κηροῦ < η΄, μυελοῦ < ις΄, ὀπίου < α΄, κρόκου < α΄ καὶ ῥοδίνου τὸ ἀρκοῦν λειώσας ἐν πεσσῷ προστίθει.

ις΄. **Πρὸς τὰς ἐπὶ ἑλμίνθων ὀχλουμένας μήτρας.** Ἐπὰν δὲ ἕλμινθες οὖσαι ἐν τοῖς ἐντέροις θλίβωσι τὴν ὑστέραν, συμβαίνει ταύταις πόνος περὶ τὴν μήτραν καὶ κνησμονὴ περὶ τὸ

---

[1] πόνους [2] συνισταμένων [3] ὧν [4] αἰωπτρησμῷ [5] ἐνδῆσον [6] ἁπλοῦν [7] παλαιοῦ [8] ὑποσταθμίου ῥῶ.

γυναίκειον καὶ τὴν γαστέρα καὶ ὑγρότης περὶ τὸ αἰδοῖον, ὡς δοκεῖν ὑπὸ ῥεύματος ἐνοχλεῖσθαι. Θεράπευε δὲ οὕτως· ἴρεως ῥίζαν καὶ ῥόων γλυκέων χυλὸν προσμίξας θέρμανον καὶ δίδου προσκλύζεσθαι, ὅταν οὐρήσῃ, καὶ τοῦτο συνεχῶς ποίει ἄχρι θεραπευθήσεται.

ιζ΄. ***Πρὸς τὰς τῆς μήτρας διαψύξεις.*** Τὰς δὲ κατεψυγμένας διὰ τὴν ψῦ|ξιν στραγγουριούσας καὶ πρὸς τὰ λοιπὰ πάθη καὶ διὰ ψῦξιν συνιστώμενα ἐν τῇ μήτρᾳ. Θεράπευε δὲ οὕτως· τερεβινθίνης, νάρδου. ἀνὰ < α΄, καλαμίνθης < ϛ΄. ὄξους < α΄· τὰ ξηρὰ κόψας ἀναλάμβανε τοῖς ὑγροῖς καὶ προστίθει ἐν πεσσῷ ἐν τῷ στομίῳ τῆς μήτρας. f. 11v

ιθ΄. ***Πρὸς τὰς ἐν τῷ στομίῳ τῆς μήτρας ἐμπνευματώσεις.*** Ὅσαι⟨ς⟩ περὶ τὴν ὑστέραν πόνοι γίνονται καὶ τὰ λεπτὰ τῆς κοιλίας ἔντερα καὶ τὴν ὀσφὺν καὶ τοὺς βουβῶνας καὶ τὰς σιαγόνας, ταύταις πνεῦμα περιπατοῦν[1] καὶ καταλαβὸν τὰς κοιλίας ἐναποκέκλειται, διὸ καὶ οἱ πόνοι καταδιδόασιν. Θεράπευε δὲ αὐτὰς οὕτως· βούτυρον καὶ μυελὸν ἐλάφειον, ἑκάστου ἴσον, μίγνυε ᾠοῦ ὀπτοῦ τὸν κρόκον καὶ λειώσας καλῶς μίγνυε ῥοδίνου μύρου καὶ ποιήσας μέλιτος πάχος ἐν ἐρίῳ πεσσῷ, προστίθει ἐν τῷ στομίῳ τῆς μήτρας.

κ΄. ***Πρὸς τὰς τῆς μήτρας ὑδρωπίας.*** Ὅταν τῇ μήτρᾳ ἀπὸ τῶν μυκτήρων μύξαι διέρχωνται καὶ τοὺς ὀφθαλμοὺς νοσώδεις ἔχουσι καὶ θερμαίνονται τὸ σώματιον (sic), ταύταις ἐν τῇ μήτρᾳ συνίστανται[2] ὕδρωπες· θεράπευε δὲ οὕτως· κυμί|νου, σταφίδος καὶ ἅλατος ὀλίγου, λειώσας καὶ συμμίξας ἀναλάμβανε ἐν ἐρίῳ πεσσῷ καὶ προστίθει. f. 12r

κα΄. ***Πρὸς τὰς πεπληρωμένας μήτρας χυμοῦ.*** Ὅσαις ἡ μήτρα χυμοῦ κολλώδους πεπλήρωται, ταύταις τὸ αἰδοῖον ἐνυγραίνεται, μάλιστα δὲ τὸ βρέγμα, οἵτε κανθοὶ τῶν ὀφθαλμῶν ὕφαιμοι γίνονται καὶ πυρετοὶ συνεχεῖς λαθραῖοι. θεράπευε δὲ οὕτως, μανδραγορίου τῆς ῥίζης ἐκζεομένης μέρη τρία, κολοκυνθίδος ἀγρίας, τοῦ γναφάλου μέρος α΄, ταῦτα κόψας ὁμοῦ μῖξον γάλακτι γυναικείῳ καὶ ποιήσας καλάμια ἐπιμήκη ἐπιτίθει, προλουσάμενος θερμῶς.

κβ΄. ***Πρὸς τὰς καθύγρους ὑστέρας.*** Ὅσαις ὑγρὴ ἐστιν ἡ ὑστέρα, ταύταις τὸ αἰδοῖον ψυχρότερόν ἐστι καὶ οὐκ ἐν ἰσχύϊ τῇ τοῦ ἀνδρὸς θερμότητι πρὸς σύλληψιν· ἀπορρύεται γὰρ ψυχρὸν ἱδρῶτα διὰ τοῦ αἰδοίου. θεραπεύεται τοίνυν οὕτως· πιτύου φλοιοῦ καὶ κυδωνίου τὸ ἴσον, κόψας καὶ ποιήσας χνοώδη δίδου προστίθεσθαι· προσκλυζέσθω δὲ σχοινίνῳ καὶ μυρσίνῳ ἀποζέματι οἴνῳ· χρῶ ... καὶ πρὸς τὰς διε... f. 12v

κγ΄. ***Πρὸς τὰ ἐν μήτρᾳ ῥυπαρὰ ἕλκεα δεόμενα ἀνακαθάρσεως.*** — Μήκωνος... μέλιτος καὶ ῥοδίνου τὸ ἀρκοῦν προστίθει ἐν πεσσῷ. ***Ἄλλο.*** Ἰοῦ χαλκοῦ κεκαυμένου < α΄, στέατος χηνείου ῥοδίνου < α΄, μέλιτος τὸ ἀρκοῦν, ποίει εὔκρατον καὶ προστίθει· ***Ἄλλο.*** ἀνεμώνης σποδὸν σὺν μέλιτος λείωσον καὶ ῥοδίνῳ μύρῳ καὶ ἐπιτίθει.

κδ΄. ***Πρὸς τὰ ἀνακεκαθαρμένα ἕλκη τῆς μήτρας.*** — α΄. Μετὰ δὲ τὸ ἀνακαθαρθῆναι χρῶ πεσσοῖς· πίσσης ὑγρᾶς, ἐρείκης καρποῦ, στέατος χηνείου, ῥοδίνου μύρου προστίθει. β΄. ***Ἄλλο.*** Ῥητίνης, στροβιλίνης, ῥοδίνου μύρου τήξας, ὁμοῦ προστίθει ἐν πεσσῷ. γ΄. ***Ἄλλο.*** Ῥητίνης, πιτυΐνης ὑγρᾶς, μέλιτος βραχύ, ῥοδίνου τὸ ἀρκοῦν, τήξας προστίθει. δ΄. ***ἄλλο.*** — ᾠοῦ ὀπτοῦ λέκιθον[3] λειώσας ῥοδίνῳ χρῶ.

κδ΄. ***Πρὸς γονόρροιαν ἀνδρὸς καὶ γυναικός.*** — Μέλιτος ὀξύβαφον καὶ γάλακτος αἰγείου δίδου πίνειν κύαθον α΄. ***Ἄλλο.*** Σικύου ἡμέρου σπέρμα⟨τος⟩· ἀπόζεμα δίδου πίνειν· ***Ἄλλο.*** | θριδάκου ἡμέρου σπέρμα δίδου πίνειν καὶ ὑοσκύαμου ὁμοίως. f. 13r

---

[1] περιπατῶν [2] συνσταται [3] λεκίθους.

κε'. *Πρὸς διεφθαρμένας καὶ βουλωμένας, διαλυθῆναι*[1] *ἅμα καὶ ἀποξηρᾶναι τὸν γυναικεῖον κόλπον.*

α'. κηκῖδος ὀμφακίτιδος < δ'. σιδίων ῥόων < β'. ῥόδων ξηρῶν < β'. τρίψον ἅμα καλῶς καὶ ἀπόθου ἐν ἀγγείῳ καθαρῷ˙ καὶ τούτου λαβοῦσα μύστρον Ν° ᾱ δίδου, οἴνῳ παλαιῷ διηθήτω καὶ περινιψάσθω τὸν κόλπον αὐτῆς˙ διαμένει γὰρ ὅλον τὸν βίον μὴ καθυγραινομένη. β'. *ἄλλο.* Μίσυος < α'. στυπτηρίας <α'. σταφυλίνου χυλοῦ ἀναλαβών, ποίει ὀροβιαῖα καὶ δίδου προστίθεσθαι πρὸ μιᾶς ὥρας τῆς συνουσίας καὶ οὐ γνώσεται ὁ ἀνήρ. γ'. *ἄλλο.* Κηκῖδος ὀμφακίτιδος < α'· στυπτηρίας σχιστῆς < β'. οἴνῳ ἀμιναίῳ λειώσας˙ δίδου προσκλύζεσθαι πρὸ μιᾶς ὥρας. δ'. *ἄλλο.* Στρύφνον μετ' ἐλαίου ἑψήσας δίδου προσκλύζεσθαι.

κς'. ***Πεσσὸς συλληπτικὸς πρὸς σύλληψιν γυναικός.*** — ***Σατύριος καλούμενος.*** Κηροῦ τυρρηνικοῦ Γ° γ'. ἐλαίου παλαιοῦ Γ° γ'. τερεβινθίνης καθαρᾶς ὁμοίως, ἀφροῦ νίτρου καλοῦ
f. 13v Γ° α'. τήλεως ἀλεύρου Γ° α', τὸ ἀφρό|νιτρον καὶ τὴν τήλην λείαν σμίγε τοῖς τηκτοῖς καὶ ποιήσας πεσσὸν προστίθει. β'. ***ἄλλο.*** Σατυρίου σπέρματος <δ'. μέλιτος ἀττικοῦ < δ'. χολῆς δορκάδος τὸ ὑγρόν, ὅσον ἔχει, μίξας καὶ ποιήσας πεσσὸν προστίθει. ⟨γ'⟩ ***ἄλλο.*** Πορφύραν ἀληθινὴν βρέξον εἰς χολὴν αἰγείαν καὶ ἐπίθες εἰς τὸν ὀμφαλὸν τῆς γυναικὸς ἐπὶ ἡμέρας ζ'. καὶ συγγενέσθαι τῷ ἀνδρί, σελήνης αὐξούσης.

## ΚΕΦΑΛΑΙΟΝ Β΄

κζ'. ***Πρὸς σύλληψι[α]ν γυναικός.***—Κυτίνων ῥοᾶς <α'. σιδίων ῥοᾶς < δ'. κηκίδων < β'. ἀψινθίας <ᾱ'. λειώσας πάντα ἀνάλαβε κεδρίᾳ καὶ καθαρᾶς ἐλαφαίδρου· προστίθει ἡμέρας β'. καὶ μετὰ ἄλλην ἡμέραν ἀνδροκοιτείτω, πρὶν δὲ μή, εἴς τινα διάπτωτον (sic)· ἐκ πολλῆς πείρας χρῶ, λεύκης τοῦ δένδρου τῆς ῥίζης <α'. λειάνας ἡμικοτυλίῳ ὕδατι, πάρεχε ἐλαφαίδρου ἅπαξ μόνον καὶ οὐ καυστικῇ. ***ἄλλο.*** Μυρίκης ῥίζαν ὕδατι ἑψήσας δίδου [ἐλαφαίδρου], σελήνης ληγούσης.

κη'. ***Πρὸς τὰς ἐν τοῖς προτέροις χρόνοις τικτούσας***[2]***, ὕστερον δὲ μή.***—Ἐπὰν γυνὴ συλλαμβάνουσα, ὕστερον δὲ οὐκέτι συλλαμβάνει ἀλλ' ⟨ἐ⟩ξερεύεται καὶ ἀπορρίπτει τὴν γονήν,
f. 14r | πάσχει καὶ διὰ β'. αἰτίας, ἢ διὰ γλισχροτέρου χυμοῦ, καταλαβόντος τὰς κοτυληδόνας τῆς μήτρας, καὶ μὴ ἐόντος ἐν αὐταῖς ἐμμένειν τὸ σπέρμα, ἀλλ' ἀπορρεούσας, ἢ διὰ παχὺν χυμὸν ἐμπεπλησμένον εἰς τοὺς κόλπους τῆς μήτρας καὶ ἀναπλεκούσης τὴν γονήν, ἀλλοτριούσης[3] τὴν γένεσιν τοῦ ζῴου. θεραπεύου δὲ οὕτως. ροιᾶς φύλλα ξηρὰ κόψας καὶ σήσας φύρασον μέλιτι καὶ ποιήσας πεσσὸν τετραδακτύλεον μετὰ τὸ καθαρθῆναι ἔνθες ἐπὶ ἡμέρας τρεῖς καὶ μετὰ ταῦτα εὑρήσεις συνειλημμένα, ὥσπερ ἔντερα ὀρνέοις. Εἶτα ἐκγιγαρτίσας σταφίδας, κόψον καὶ ποίησον πεσσὸν καὶ προστίθει˙ καὶ ὅταν ἀποστραγγίσῃ τὸ ὑγρὸν ἀνδροκοιτείτω.

κθ'. ***Πρὸς δυστοκούσας.*** — Ταῖς δυστοκούσαις γυναιξὶ γίνεται πόνος καὶ ὄγκος τῆς ὑστέρας καὶ τῆς γαστρὸς καὶ οὐδὲν αὐταῖς διὰ τῶν ἐκκρίσεων διέρχεται˙ καὶ στροφοῦνται καὶ διήκει ὁ πόνος μέχρι τοῦ ὀμφαλοῦ, θερμή τε[4] αὐταῖς προσγίνεται ἡ μήτρα καὶ ἀπορρύει
f. 14v αἱματώδη˙ εὐτοκούσῃ | τοίνυν οὕτως ἑψήσας ἀμύγδαλα ἐλαίῳ διάχρισον τὴν ὑστέραν τρὶς ἢ τεσσαράωρον νηστεύσασαν. ***Ἄλλο.*** ᾠὰ δύο σὺν πηγάνῳ καὶ ἀνίσῳ καὶ κυμίνῳ λειώσας οἴνῳ λευκῷ εὐώδει δίδου πίνειν ἀπυρέτοις˙ πυρέττουσι δὲ δι' ὑδρομέλιτος.

λ'. ***Πρὸς ὠμοτοκούσας γυναῖκας.***— Τὰς δὲ ὠμοτοκούσας γυναῖκας καὶ μὴ τελεσφορού-

---

[1] διαλυθείη [2] τίκτουσιν [3] ἀλλοτριοῖ [4] θερμιόνται αὐτῆς.

σας τὰ βρέφη καὶ διαφθειρούσας τὰ ἔμβρυα, ἀρτεμισίας βοτάνης < α', λειώσας σὺν οἴνῳ εὐώδει δίδου πίνειν.

λα'. *Πρὸς κατοχὰς ἐμβρύων.*— Πρὸς δὲ τὰς κατοχὰς τῶν ἐμβρύων, ὥστε τὰ κυούμενα[1] εὐχερῶς ἐκβάλλειν, ἐχίνου τοῦ χερσαίου τὸ δέρμα κατακαύσας καὶ ὕδατι λειώσας χρῖσον τὸ στόμιον τῆς ὑστέρας καὶ μύρτα μέλανα μετὰ οἴνου τρίψας δίδου πίνειν, ὅταν ἄρξηται ἐξυδατίζεσθαι.

λβ'. *Πρὸς γνῶναι γυναῖκα, εἰ γόνιμός[2] ἐστιν ἢ οὔ.*— Ρητίνην ἢ λίβανον ἢ στύρακα θυμιάτισον περιεσταλμένην καὶ εἰ μὲν ὄζει ἐκ τοῦ στόματος ἢ καὶ ἐρεύεται τὴν ὀσμήν, οὔκ ἐστι στεῖρα, εἰ δὲ μὴ ὄζει, μηδὲ ἐρεύεται ἀποκέκλεισται αὐτῆς ἡ μήτρα καὶ οὐ συλλήψεταί ποτε.

λγ'. *Πρὸς ἀρρενοτοκίαν ἢ θηλυτοκίαν.*— | Γῆρας ἀσκαλαβώτου δεξιῷ βραχίονι φερό- f. 15r
μενον, ἀποδύεται γάρ, ὡς ἐπὶ ὄφεώς ἐστι, ἢ καταπονεῖ τὸ γῆρας. θηλυτοκεῖν δὲ ποιεῖ λωρώου (sic) μήτρα ξηρὰ κοπεῖσα καὶ ποθεῖσα. πιέτωσαν δὲ ἀμφότεροι. Καὶ λινόζωστις δέ, εἰ ἄρρην, ἀρρενοτοκῆσαι ποιεῖ πινομένη. εἰ δὲ θήλεια, θηλυτοκῆσαι. πινέτωσαν δὲ ἀμφότεροι σελήνης αὐξανούσης ἐπὶ ἡμέρας ιβ'.

λδ'. *Πρὸς γυναῖκα φθαρεῖσαν δοκεῖν εἶναι παρθένον.*— Σύμφυτον βοτάνην λειώσας ὑπόθες ἢ στυπτηρίαν σχιστὴν μετὰ δάφνης φύλλων ζέσας προσκλυζέσθω.

λε'. *Πρὸς γνῶναι γυναῖκα, ἐάν ἐστι παρθένος.*—Βαλὼν εἰς ἀγγεῖον καινὸν φακόν, ποίησον τὴν γυναῖκα οὐρῆσαι ἐν αὐτῷ καὶ ἐὰν φυσηθῶσι, παρθένος ἐστίν, εἰ δὲ μή, ἔφθαρται. ***Ἄλλο.*** Γαγάτην λίθον κάπνισον καὶ ἐὰν οὐρήσῃ ἑαυτὴν ἐφθαρμένη· εἰ δὲ μή οὐχί.

λς'. *Πρὸς γυναῖκα, ἵνα μηκέτι πορνεύῃ.*— Χολὴν ἰχθύος τοῦ λεγομένου καύρου ἄλειψον τὸ φυσικόν σου καὶ συγγένου μετ' αὐτῆς καὶ οὐκέτι πορνεύσει εἰς ἄλλον. ***Ἄλλο· διὰ πείρας.*** Γρασκόνου ᾠὰ ὄκλασον καὶ ἄλειψον τὸ μό|ριόν σου καὶ συγγένου μετ' αὐτῆς· ἐὰν δὲ τούτου f. 15v
ἰχθύος τοῦ καύρου χρήσῃ, οὐκέτι συμμιγνύσεται μετ' αὐτῆς ἄνθρωπος.

λζ'. *Πρὸς ὁμολογῆσαι τοὺς μοιχοὺς αὐτῆς.*— Μαγνήτην λίθον τρίψας δὸς πιεῖν μετὰ οἴνου ἀκράτου καὶ τῇ ἡμέρᾳ ἐκείνῃ μὴ λούσεται, καὶ τῇ ἑσπέρᾳ, ὅτε ὑπάγῃ καθεύδειν δὸς αὐτὰ πιεῖν καὶ μηκέτι ἑτέρῳ γεύσεται· καὶ τῇ νυκτὶ κάθευδε μετ' αὐτῆς καὶ ὁμολογήσει τοὺς μοιχοὺς αὐτῆς. ***Ἄλλο.*** Ὀρριψίου τοῦ ἡμέρου τὸ δίκρανον ὀστοῦν θὲς ἐπὶ τὴν καρδίαν αὐτῆς κοιμωμένης καὶ ὁμολογήσει τίνος φρονεῖ καὶ τὶς αὐτὴν ἔσχηκεν· τὸ αὐτὸ δὲ ποιεῖ καὶ ἡ ἄλυσσος βοτάνη.

λη' *Ἡδονικά.*— Λαβὼν μήτραν λαγωοῦ τηγάνισον ἐν χαλκῷ τηγανίῳ ἰώσαντι, ἐπιβάλλων ῥοδίνου ἐλαίου λίτρ. γ'· εἶτα λείωσον μύρῳ εὐώδει στέατος[3] < δ', κόπρου[4] κορκοδείλου < α', χυλοῦ σκορπίου, ῥοῦ αἱματώδους < β', μέλιτος < δ', τινὲς δὲ καὶ στέατος στρουθίου προσπλέκουσι βραχύ. αἴλουρον ἀποθανοῦσαν λοῦσον σποδῷ ἡμέρας γ'· | καὶ ἐξέρχεται αὐτῆς[5] f. 16r
ἡ μήτρα· τοῦτο πενιχρᾶς γυναικὸς μὴ ποιήσεις, πάντα γάρ σοι παρέξει ταῦτα. ***Ἄλλο, ὥστε ὑλάττειν καὶ παντοίας φωνὰς ἀποτελεῖν.*** Κόκκον κνίδιον χωρὶς τοῦ φλοιοῦ < β', σμύρνης < β', πεπέρεως < β', κισσοῦ μέλανος κοκ. ιβ', σταπίδος (sic) ἀγρίας < β', σκωλήκων, ἐχόντων τὰς οὐράς, τῶν ἐν τοῖς λουτροῖς εὑρισκομένων < β', μέλιτος τὸ ἀρκοῦν, ὥστε γενέσθαι ᵋὔχρηστον.

[ ] *Περὶ τῶν ἐν τοῖς μασθοῖς γινομένων παθῶν.*— Μασθῶν φλεγμονὰς θεραπεύει⟨ς⟩, σεῦτλα εἰς ἔλαιον ἑψήσας, ἕως ἂν τακῶσι, καὶ λειώσας ἐπίβαλλε τῷ ἐλαίῳ κηρόν, καὶ ποιήσας κηρωτὴν σὺν τοῖς λελειωμένοις σεύτλοις κατάπλασσε· ἢ ἀνδράχνης χυλὸν σὺν στέατι χηνείῳ καὶ ῥοδίνῳ ἐλαίῳ κατάχριε ἢ ᾠοῦ τὸ πυρρὸν μετὰ ῥοδίνου καὶ βουτύρου κατάχριε.

---

[1] κυώμενα [2] γόνιμον [3] στερεὸς [4] κόπρος. [5] αὐτοῦ.

[ ] *Πρὸς τὰς*[1] *δὲ ἀπὸ τοκετοῦ πασχούσας*[2] *θεραπεύει.*—Ταῖς[3] δὲ ἀποθρομβούσαις[4] τὸ γάλα καὶ πάθεσι, δεόμενα (sic) τραύματα καὶ ἐρυσιπέλατα διὰ πείρας, ὄστρακος ἐκ λιβάνου
f. 16v Γο β΄. | ψιμμυθίου Γο ε΄, μυολάδου (?) Γο α΄, ἀσβέστου Γο α΄, κηροῦ Γο, ἐλαίου τὸ ἀρκοῦν, ποιήσας ἔμπλαστρον ἐπιτίθει.

[ ] *Πρὸς μασθοὺς σκληραίνοντας.* — Σηρικοῦ μέρος α΄, πίσσης μέρη β΄, ῥητίνης μέρη γ΄, ἐλαίου λίτρ. β΄, ἕψαι τὸ σηρικοῦν μετὰ τοῦ ἐλαίου ἕως ἀμόλυντον (sic), καὶ οὕτως ἐπίβαλλε τὰ τηκτὰ καὶ ποιήσας ἔμπλαστρον ἐπιτίθει.

μγ΄. *Πρὸς μασθῶν*[5] *καρκινώματα.* — Κισσοῦ φύλλα ἑψήσας μέχρι τακερωθῶσι κατάπλασσε καὶ τῷ ἀποζέματι πυρία. *Ἄλλο.* Λιθάργυρον χρηστήν, χαλκὸν κεκαυμένον, μόλυβδον κεκαυμένον σὺν ἐλαίῳ ἑψήσας κατάχριε.

μδ΄. *Πρὸς μασθῶν πᾶσαν διάθεσιν.*—Λαγωοῦ πιτύαν μετὰ ὕδατος λειώσας, κατάχριε ἢ κιμωλίαν γῆν ἢ χίαν, ὁμοίως ψιμμύθιον ἢ λιθάργυρον σὺν ἐλαίῳ καὶ ὄξει λειώσας, κατάχριε.

με΄. *Πρὸς μασθῶν ὀδύνας.* — Πηγάνου χυλόν, ἡδυόσμου χυλόν, ἀειζώου, στρύχνου, κορίου, κισσοῦ, περδικίου καὶ κράμβης χυλόν, βούτυρον ὀλίγον, ᾠοῦ τὸ πυρρόν, ἐλαίου ῥοδίνου, πάντα ἑνώσας χλιαρὰ ἐπίχριε τούτῳ. Καὶ ἐρυσιπέλατα ἴαται.

f. 17r | μϛ΄. *Πρὸς γάλα ἐγεῖραι.* — Σήσαμον σήσας καὶ λειώσας ἐν θερμῷ δὸς πιεῖν. *Γαλαστικαί.* — Ἰ... κυμίνου δὸς πιεῖν.

⟨ ⟩ *Γάλα κατασπᾶσαι γυναικός.*—Πεπέρεως, ζιγγιβέρεως, κυμίνου αἰθιοπικοῦ, πηγάνου σπέρμα, ἑκάστου ἴσα λειώσας σὺν οἴνῳ εὐώδει, ποίησον τροχίσκους ὀβολιαίους, καὶ πάρεχε οἴνῳ μελίτη νήστει πίνειν· προπινέτω δὲ πρωῒ ἡμερῶν χυλὸν πυροῦ σὺν μαράθου ῥίζης· καὶ σήσαμος σὺν ὑδρομέλιτι, ἢ ὤκιμος ἢ σμύρνα ἢ λίβανος ὁμοίως ⟨ποιεῖ⟩.

⟨ ⟩ *Γάλα σβέσαι γυναικός.* — Θαλάσσῃ θερμῇ κατάντλει, στρύχνου χυλὸν ἐπίχριε, ψιμμύθιον λεῖον ἐπίπασσε. Ἐὰν δὲ φλεγμαίνωσιν οἱ μασθοί, κιννάμωμον μετὰ ἀφρονίτρου ἴσα λειώσας ἀναλάμβανε κηρωτῇ ῥοδίνῃ καὶ ἔμπλαστρον ἐπιτίθει κατὰ ὅλου τοῦ μασθοῦ, ἢ κιμωλίαν ὄξει λειώσας ἐπίχριε ἢ χίαν γῆν ὁμοίως.

⟨ ⟩ *Πρὸς μασθοὺς διατηρῆσαι μικρούς.*— Μελισσίαν βοτάνην λειώσας εἰς ἔμπλαστρον ἐπιτίθει κατὰ τὸν μασθὸν μόνον καὶ μὴ ἐν πλείῳ τόπῳ· ἢ κώνειον καταπλασσόμενον ἐπὶ ἡμέ-
f. 17v ρας γ΄, ἢ μήκωνος σπέρμα σὺν ὕδατι ὀμβρίῳ. | ἑψηθὲν καὶ λειωθὲν καὶ καταπλασθὲν ἐπὶ ἡμέρας γ΄ ἐπιδεσμῶν φασκία.

μβ΄. *Πρὸς μασθοὺς κεχαλασμένους ὀρθῶσαι.* — Λαβὼν γῆν, ἣν οἱ γναφεῖς χρῶνται, ἔστω ἐπιλύμματα (sic), μέρος α΄, μέλιτος βραχὺ λειώσας κατάχριε· ἢ ψιμμύθιον ἀναλαβὼν χυλῷ ὑοσκυάμου, ἐπιβαλὼν ἐλαίου σχοινίνου τὸ ἀρκοῦν, ἐπίχριε τοὺς μασθούς.

μγ΄. *Πρὸς μασθοὺς διατηρῆσαι μικροὺς*[6] *καὶ ὀρθούς.*—Λαβὼν ψύλλιον ῥίζαν, σελήνης

---

[1] τοὺς... [2] πάσχοντας [3] τοῖς [4] ἀποθρομβοῦσι [5] μασθούς.

[6] On the pag. 4v of the same cod. and before Metrodora's work there are several recipes on the same matter, i. e. «*Μαστοὺς ὀρθοὺς φυλάξαι*· στυπτηρίαν καὶ ἔλαιον συλλέξας ἔχε εἰς μολυβροῦν ἀγγεῖον καὶ χρῖε τοὺς μασθοὺς ὀλίγας ἡμέρας ἐάσας καὶ μικροὶ διαμένουσι» — «*Ὀρθοὺς καὶ μικροὺς διαμεῖναι*[1], Γῆς πηλοποιητικῆς, κηκῖδος σὺν μέλιτι λεαίνας καὶ ποιήσας κηρωτῆς[2] πάχους ἀπόθου καὶ χρῶ. Ὅταν δὲ ξηρανθῇ προσκλυζέσθω ὕδατι ψυχρῷ». «*Ἄλλο. Μασθῶν ὄγκους παῦσαι· ἔστι δὲ καὶ ὀμφαλικόν.* Ἐρέγμου (sic), πυρίνου ἀλεύρου, κηκῖδος, βαλαυστίων $\overline{αα}$ Γο α΄, ἕψε ἐν ὕδατι, ὅταν δὲ δεσμωθῇ ἐπιτίθει σπόγγον καὶ ἐπιδέσμῳ χρῶ».

---

[1] διαβῆναι [2] κηρωτὴν

ληγούσης, τοῖς μασθοῖς *συμφασκίωσον*. Εἰ δὲ θέλεις πειρᾶσαι, κριῷ ἢ μόσχῳ περίαψε κατὰ τῶν κεράτων καὶ εἰ μὲν ἐφύησαν τὰ κέρατα, μένουσιν ἐν τῷ αὐτῷ καὶ οὐκ αὔξουσιν· εἰ δὲ οὐκ ἐφύησαν, οὐ προέλθωσιν· τὸ αὐτὸ ποιεῖ καὶ ἡ μελισσία βοτάνη.

μδ'. ***Ἄλλο.*** Κώνειον λειώσας κατάπλαττε, στυπτηρίαν σχιστὴν < β', κηκῖδος ὀμφακίνης < β', κόψας λεῖα, μίξας οἴνῳ αὐστηρῷ μέλανι καὶ ποιήσας κηρωτῆς πάχος, διάχριε τοὺς μασθοὺς κύκλῳ· καὶ ἐπίπλασσε γῆν σαμίαν καὶ κιμωλίαν ἢ ψιμμίθιον.

με'. ***Μασθοὺς ποιήσεις στιλβοὺς καὶ καλούς.*** — Ὀρόβων οἴνῳ εὐώδει διαλύσας, κατάπλασσε, ἢ | τήλεως ἀποζεομένης οἴνῳ καὶ λελειωμένης κατάπλασσε, ἢ λινόσπερμον λειώσας f. 18r
ὁμοίως ἢ πτισάνης χυλὸν ἢ σιμιδάλεως σὺν οἴνῳ ἢ ἀμύλῳ ὁμοίως ἢ ψιμμίθιον καὶ λιθάργυρον σὺν οἴνῳ λειώσας κατάπλασσε.

νς'. ***Πρόσωπον ποιῆσαι λευκὸν καὶ στίλβον.*** — Στυπτηρίαν λευκήν, ὕδατι λειώσας, ἐπίχριε, ὀψὲ καὶ πρωῒ νίπτε ἢ χίαν γῆν ἢ κιμωλίαν ἢ νίτρον ἢ λιθάργυρον ἴσα λειώσας σὺν ὄξει ἐπίχριε, ὀψὲ καὶ πρωΐ.

νζ'. ***Πρόσωπον λαμπρὸν ποιῆσαι.*** — Τοῦτο ἐχρήσατο Βερονίκη ἡ βασίλισσα τῆς Αἰγύπτου ἡ μετακληθεῖσα Κλεοπάτρα. Ἐλάφειον κέρας, βαλοῦσα εἰς χύτραν καινήν[1], ὤπτησεν εἰς καμίνιον καὶ ἐξελοῦσα εὗρε κατάλευκον· τοῦτο λειώσα⟨σα⟩[2] μετὰ γάλακτος ἐχρίετο.

νη'. ***Ἄλλο.*** Μελάνθιον καὶ τήλην καὶ λινόσπερμον λειώσας σὺν οἴνῳ εὐώδει κατάπλασσε.

νθ'. ***Πρόσωπον ποιῆσαι στίλβον.*** —Ἄμυλον καὶ ὄροβον καὶ σεμιδάλιν μετὰ ᾠοῦ τὸ λευκὸν ἐπίχριε· χυλὸν χόνδρου καὶ χυλὸν πτισάνης μετὰ μέλιτος ἐπίχριε.

***Νίμματα προσώπου, τραχήλου[3] καὶ χειρῶν καὶ ποδῶν.***— | Κιμωλίαν λίτρ. α', γῆν χίαν f. 18v
λίτρ. β', ἴρεως ῥίζης λιτρ. ς', στρουθίου ῥίζης Γο ς', ἄρου ῥίζαν ξηρὰν Γο β', κυκλαμίνου ῥίζαν Γο ζ', κόψας καὶ σήσας ἀπόθου· ἐπὶ δὲ τῆς χρείας τὸ αὔταρκες λῦε καὶ σὺν οἴνῳ εὐώδει κατάχριε. Καὶ ὅταν ἄρξηται ξηραίνεσθαι ὕδατι ἀπονιπτέσθω καὶ ἀπόμασσε ὀθωνίῳ καθαρῷ.

⟨ξα'⟩. ***Εὐωδία σώματος καταπαύσει[4].***—Ῥόδων ἀβρόχων ξηρῶν < β', σμύρνης καθαρᾶς < κ', ἴρεως ῥίζης < ι', λειώσας σὺν οἴνῳ εὐώδει ἀνάπλαττε τροχίσκους. ἐπὶ δὲ τῆς χρείας οἴνῳ εὐώδει λειώσας ἀπὸ λουτροῦ κατάχριε.

ξβ'. ***Θυμιαμάτων σκευασίαι.***—Νάρδου στάχυος, κασίας, καλάμου ἀρωματικοῦ, κυπέρου, κρόκου, κόστου, λιβάνου, σμύρνης, στύρακος, ἑκάστου ἴσον· σταφίδας γιγαρτικάς, οἴνου εὐώδους, μέλιτος καλοῦ· τὰ ξηρὰ κόπτε καὶ σῆθε. Καὶ ἐπίβαλλε τοῖς τηκτοῖς καὶ ἀνάπλαττε τροχίσκους. Ἐπὶ δὲ τῆς χρείας τίθει ἐπ' ἀνθράκων καὶ θυμία.

ξγ'. ***ἄλλο. Σκευασία θυμιάματος.*** — Καρυοφύλλου Γο α', κασίας Γο β', σμύρνης, ῥόδων, ἀμώμου αα Γο δ', καλάμου Γο γ', κόστου | φύλλου αα Γο α', βαλσάμου τὸ ἀρκοῦν. f. 19r

***Ἀνδρομάχου.*** α' Θηριακὴ Ἀνδρομάχου. Ἀρτίσκων σκιλλιτικῶν Γο ς', ἡδυχρόου μίγματος Γο γ', πεπέρεως Γο γ', ῥόδων ξηρῶν, ἀγαρικοῦ σκορδίου, βουνιάδος ἀγρίας, ἴρεως, κινναμώμου, κασίας, γλυκορρίζου χυλοῦ, ὀποῦ βαλσάμου, ζιγγιβέρεως, κρόκου, ἀνὰ < ιβ', ῥέου, πενταφύλλου ῥίζης, καλαμίνθης ὀρεινῆς, πρασίου κόμης, στίχων κορύμβων καὶ φύλλων πετροσελίνου, κόστου, πεπέρεως λευκοῦ, πεπέρεως μακροῦ, δικτάμνου, λιβάνου ἄρρενος, ἀκόρου, σχίνου ἄνθους, τερεβινθίνης χίας, κασίας, ναρδοστάχυος ἀνὰ < ς', γεντιάνης, πολιοῦ κόμης στύρακος καταλάτου, σεσέλεως, θλάσπεως σπέρμα, ἄμεως σπέρμα, χαμαίδρυος κόμης, ὑποκυ-

1 κενην 2 λιωσα 3 τραχεῖ 4 καταπασ

στίδος χυλόν, βαλαβάθρου φύλλου, νάρδου κελτικῆς, ἀνίσου, ῥέου, κορίου ξηροῦ, φοῦ, ἀκακίας, ὑπερικοῦ κόμμεως, καρδαμώμου σπέρμα ἀνὰ < δ', δαύκου, χαλβάνης, ὀποπάνακος, σαγαπήνου, ἀσφάλτου ἰουδαϊκοῦ, κενταυρίου λεπτοῦ κόμης, καστορίου, ἀριστολοχίας ἀνὰ < β', οἴνου γλυκέος ξεστ. β', μέλιτος ξεστ. β'.

f. 19v β'. *Θηριακὴ ἄλλη.* ποιεῖ πρὸς τὰ τῶν θηρίων καὶ ἑρπετῶν δήγματα καὶ πρὸς κωλικοὺς καὶ δυσεντερικούς· καστορίου, στύρακος, ὑοσκυάμου σπέρμα, ὀπίου, μήκωνος, ἀσάρου < α', μέλιτος ἑφθοῦ τὸ ἀρκοῦν.

*Ἀνδρομάχου.— Θηριακὴ πρὸς τὰς τῶν θανασίμων φαρμάκων καὶ πρὸς ἀσπιδοδήκτους καὶ ὀχεοδήκτους, σκορπιοπλήκτους καὶ φαλαγγίων.* Ἴρεως, ὀποπάνακος, λιβανωτίδος ῥίζης, ὀπίου, ζιγγιβέρεως ἀνὰ < δ', ἀριστολοχίας < θ', πηγάνου ἀγρίου < ς', κυμίνου < γ', ζιγγιβέρεως, καστορίου, ἑρπύλλου ἀνὰ < γ', ἀλεύρου ὀροβίου < ις', μέλιτος τὸ ἀρκοῦν. Θερμαίνει καὶ ξηραίνει κατὰ τὴν πρώτην τάξιν, ἔστι δὲ λεπτομερὴς καὶ διὰ τοῦτο καὶ διαφορητικὴ καὶ ἀραιωτική. Εἰ μὲν οὖν εἴη χλωρὸν ἐναφεψεῖν αὐτὸ δεῖ τῷ ἐλαίῳ, ἐν ᾧ βραχὲν[1] τὸ ἄνθος ἡλιωθῇ. Εἰ δὲ ξηρὸν[2] εἴη, ὄξει ὀλίγῳ προνοτισθέν, ἔπειτα[3] ἑψόμενον σὺν τῷ ἐλαίῳ ἐπιτήδειον γίνεται. Ἐφ' ὧν ὁπότε τὸ ἔλαιον ἡ ὕλη πέπαυται τοῖς ἐπὶ τὴν κεφαλὴν διαφορεῖ καὶ ἑτέραν οὐκ ἐπισπᾶται, οὗπερ οὐδενὶ τῶν ἄλλων συντετύχηκε φαρμάκων. Ναχεψῶ δὲ ὁ αἰγύπτιος

f. 20r παρακελεύεται αὐτὸ τὸ ἄνθος τῆς χα|μαιμήλου καθαρὸν ἀκμαιότατον συλλέγειν καὶ κόπτειν ἐν ὅλμῳ, ἔπειτα λύειν ὧν μάλα ἐν θυΐᾳ καὶ ἀναπλάττειν τροχίσκους συμμέτρους καὶ ξηραίνειν ἐν σκιᾷ ἀκριβώτατα καὶ ἀποτίθεσθαι. Ἐπὶ δὲ τῆς χρείας λειώσαντα τροχίσκον ἕνα καὶ ἐπιβάλλοντα ἐλαίου πρωτείου[4] τὸ ἀρκοῦν, χρίειν τὸ πᾶν σῶμα ἀπὸ κεφαλῆς μέχρι ποδῶν, ἐπὶ τῶν πυρεσσόντων[5] πάντων καὶ θάλπειν τὸ σῶμα σκέπῃ, κινηθήσεται γὰρ ὁ ἱδρὼς χρηστὸς φησιν ἐπὶ τῶν σωθησομένων καὶ ἀπαλλαγήσονται τοῦ πυρετοῦ[6] καὶ πεπείραται τοῦτο ἐπὶ πλείστων καὶ ἁρμόδιόν ἐστι μάλιστα ἐν ὁδοιπορίαις ἔχειν τοῦτο διὰ τὸ εὐμετακόμιστον[7]· παρακελεύεται δὲ καὶ ποτίζειν τοῦ τροχίσκου τοὺς πυρέσσοντας ὅσον ᾱᾱ < α', μεθ' ὕδατος θερμοῦ. ***Ἄλλο.*** Τῶν μὲν ῥόδων ἡ δύναμις ἐξ ὑδατώδους καὶ θερμῆς σύγκειται δυνάμεως, ἐκ δύο ποιοτήτων[8] ἀναμεμιγμένης πικρᾶς καὶ στυφούσης, διὰ τοῦτό ἐστι καὶ εὐστόμαχα γῆς ἔντερα.

f. 20v κε'. ***Ἄλλο.*** Μεγάλως δὲ πεπίστευται ἡ ρίζα τῆς κυ|κλαμίνου· καθαίρει ἰκτερικοὺς καὶ οἷς ὑποχύσεις χολῆς εἰς ὅλον τὸ σῶμα περίκειται (sic), δίδοται δὲ ἀνὰ < β', ἢ καὶ πρὸς δύναμιν. Ἔστι δὲ καὶ ἔρρινον κεφαλῆς θαυμαστόν, τῆς μὲν ῥίζης ἀνὰ < α', καρυοφύλλου δὲ κόκκους κγ'· καὶ ἐμφυσωμένη διὰ μυκτήρων καθαίρει καλῶς τοὺς παχεῖς καὶ γλίσχρους χυμούς, ὅθεν ἰᾶται τὰς χρονίας κεφαλαλγίας.

***Κυάμινον.***—Πεπίστευται δὲ καὶ τὸ κυάμινον ἄλευρον ποιεῖν ἐπί τε τῶν περὶ τὰ νεῦρα τε καὶ ὀστοῦν θλασμάτων δι' ὀξυμέλιτος προστιθεμένου.

***Περὶ πηγάνου.***—Τοῦ δέ[9] ἡμέρου πηγάνου ὁ χυλὸς σὺν μέλιτι μιγεὶς ὀξυδερκίαν παρέχειν πεπίστευται· ὠφελεῖ δὲ καὶ ποδαγρικοὺς καὶ γονάτων ὄγκους πάνυ ὀνίνησιν.

***Περὶ τῆς ἱερᾶς βοτάνης.*** — Λέγει δὲ Ἀρχιγένης ὅτι ἑψομένη σὺν ἐλαίῳ ἡ βοτάνη αὕτη ἰᾶται πᾶσαν χρονίαν κεφαλαλγίαν καὶ τὰς ῥεούσας τρίχας ἐπέχει. τὸ δὲ ἀφέψημα τῆς ῥίζης διακρατούμενον ὀδονταλγίαν παύει καὶ τὰ ἐν στόματι ἕλκη ἰᾶται· πρὸς ἐλεφαντιῶντας δίδου ὁμοίως τὸ ἀφέψημα.

***Ἀντίδοτος πρὸς αἱμορροοῦντας καὶ ῥοῦν γυναικεῖον ἐμμήνων καὶ αἱμορροΐδων***

---

[1] βραχὸν [2] ξηρὰ [3] ἐπι τά [4] ἐλαίῳ πρωτίῳ [5] πυρεγόντων [6] τῷ πυρετῷ [7] διὰ τοῦ εὐμετακομητοῦ [8] ποιότησιν [9] τὸ δὲ

*σταλτικὴ διὰ πείρας.*— Στροβίλων κεκαθαρμένων < α', νάρδου στάχεως < α', κρόκου < δ', ἀνίσου < α', φοίνικας βεβρεγμένους[1] εἰς οἶνον στυφὸν ἢ εἰς ὀξύκραμα < δ', κόψας, σήσας, ἀναλάμβανε σὺν τοῖς φοίνιξι λελειωμένοις[2] καὶ ποιήσας τροχίσκους ς', ἐπὶ τῆς χρείας δίδου β', μεθ' ὕδατος κυάθους β'·

β'. ***Αἱμοπτοϊκοὺς παύει.***—'Ακρεμόνες βάτων μετ' ὄξους ἀποτιτρωθέντες καὶ πινόμενοι, εὐθέως τὰς ἀναγωγὰς τοῦ αἵματος παύουσι[3].

***Πρὸς αἷμα ἀπὸ τῶν ἐντὸς φερόμενον στέλλει.*** — Χαμαίδρυν εἰς οἶνον παλαιὸν στύφον⟨τα⟩[4] ἀποτιτρώσας, δίδου πίνειν[5] θερμὸν ἐπὶ ἡμέρας γ'.

***Αἱμοπτοϊκοῖς δόκιμον.*** — 'Αμύλου, ψιμμιθίου, λιβάνου, λημνίας σφραγῖδος, ἴσα, ποιήσας ξηρίον δίδου κοχλιάριον α' μετ' ὀξυκράτου.

***Περὶ ἀντιφαρμάκων.*** — 'Αντιφάρμακον Δημοκράτους· Πηγάνου φύλλα κ', ὀριγάνου κόμης κοκκία α', ἐλάτια καρύου, ταῦτα λεῖα λαβὼν βάλλεις χύδην· | προέσθιε ἐγερθεὶς ἀπὸ f. 21v
κοίτης καὶ ἐκφεύξει θάνατον κεκορεσμένον.

ς'. ***'Αντίδοτος.*** — 'Απελέγχουσα πᾶν δηλητήριον δοθέν, πάραυτα τἀναντία[6] κινοῦσα καὶ ἀναγκάζουσα[7] ἐμεῖν τὸ ληφθὲν δηλητήριον. Λημνίας σφραγῖδος, ἀρκευθίδων, ἀ͞α < α', πριβέλια, παραχέων ἔλαιον καὶ ἀναλαβὼν δίδου καρύου ποντικοῦ τὸ μέγεθος μετὰ εὐκράτου[8] ἢ ὀριγάνου, μετὰ κονίας στακτῆς καὶ γλυκέως προπότιζε.

ζ'. ***Βηχικὸν ἀναγκαῖον,*** πρὸς βῆχα, χρονίαν δύσπνοιαν, πλευρῖτιν, ἐμπυϊκούς: πεπέρεως λευκοῦ Γ° γ', καρδαμώμου Γ° α', ὀπίου Γ° γ', ζιγγιβέρεως Γ° γ', κρόκου Γ° γ', θείου ἀπύρου Γ° γ', μέλιτος ἀπαφρισμένου λιτρ. Γ'. 'Η δόσις καρύου ποντικοῦ τὸ μέγεθος. Δύσπνοιαν θεραπεύει πόσεσιν ὀλίγαις σὺν μελικράτῳ, βῆχα ὁμοίως. 'Επὶ κοιλιακῶν καὶ δυσεντερικῶν ὕδατι μιγνύειν κηκῖδος ὀμφακίτιδος ἢ ἀκάνθης αἰγυπτίας κοχλιάριον μικρὸν α'.

η'. ***Βηχικὸν διὰ πείρας.***—Δαφνόκοκκα γ', πέπερι κοκκία θ', λειώσας ὕδατι, χρῶ.

θ'. ***Βηχικὰ καταπότια.***— Στύρακος, κενταυρίου[9], ὀπίου θηβαϊκοῦ, χαλβάνης, ἴσα ἀναλα- f. 22r
βὼν ποίει κοκκία ὀροβιαῖα καὶ δίδου γ' εἰς κοίτην.

ι'. ***Γυναῖκα μὴ συλλαμβάνουσαν συλλαβεῖν καὶ ἐὰν ᾖ στεῖρα· δόκιμον.*** — Μετὰ τὰ λόχια αὐτῆς εὐθύς, δρακοντίαν βοτάνην λαβών, ἀπόζεσον τέταρτον ἢ καὶ πέμπτον· οὔθ' ὥστε ἅπαξ ζέειν καὶ ἐκχέειν τὸ πρῶτον καὶ οὕτως ἐφεξῆς καὶ ποιήσας πατέλλην ἄρτησον οἰνογάρῳ ἐλαίῳ, οἷς καὶ ποίησον νήστει φαγεῖν ἐκτὸς ἄρτου· εἶτα ἄποτος μεινάτω ἐπὶ πλείστας ὥρας καὶ ἄβρωτος, συλλήψεται γὰρ ταχέως· ἄχρι δὲ τριῶν ἡμερῶν μὴ λούσεται μετὰ τὸ φαγεῖν διὰ πείρας ἐστίν.

ια'. ***Γυνή, ἐὰν τρίχας ἔχῃ εἰς τὸν πώγωνα, ὥστε ἀποπεσεῖν καὶ μὴ φυῆναι.***— Βουφθάλμου ἀγρίου καὶ κόπρου αἰγὸς καὶ νίτρου ἴσα λειώσας, ὕδατι ἀνάλαβε καὶ κατάχριε καὶ μετ' ὀλίγον ἀπόλουε εἰς βαλανεῖον· καὶ εἰσελθοῦσα χρονιζέτω ἔσω· καὶ ὅταν ἐξέλθῃ, εὑρήσεις τὰς τρίχας μεμαδημένας[10] καὶ οὐκέτι ἀνακτήσονται. Δόκιμόν ἐστιν.

| ιβ'. ***Γλῶσσαν λελεπτυσμένην καὶ οὐρανίσκον πυρέσσοντα θεραπεῦσαι.***— Γλαύκιον εἰς[11] f. 22v
κόνιν μεθ' ὕδατος λειώσας ἐπίχριε καὶ εὐθέως θεραπεύσεις ὅλον τὸ στόμα.

ιγ'. ***Γλῶσσαν τραχεῖαν καὶ σίελον πέμπουσαν θεραπεῦσαι.*** — Κορίου σπέρμα λειώσας μετ' οἴνου χρῖε καὶ διακλύζου. Σιέλου δὲ πολλοῦ γενομένου, κηκῖδα καὶ στρύχνον μετ' ὄξους συλλειώσας, διάκλυζε.

---

[1] βεβρεγμένας [2] λελειωμένους [3] παύει [4] στύφον [5] πίν [6] παραυτἀναντιαν [7] ἀναγκάζουσαν [8] εὐκράτος [9] κοτζουβρίου [10] μεμαδυομένας [11] ἴσα.

ιδ'. ***Γαστρὸς ῥύσιν στεῖλαι.***—Τράγειον (sic) ἢ παρεψήσας εἰς οἶνον αὐστηρόν, δὸς πίνειν κύαθον α', καὶ παραχρῆμα στέλλει.

ιε' ***Δυσεντερικοῖς πατέλλην, ποίει καὶ αἱμοπτοϊκοῖς.***—Λαβὼν συμφύτου ῥίζας, ἕψε ἐπιμελῶς καὶ καρυώτιδας· εἶτα ἀρτύσας ἐπίβαλε ᾠὰ καὶ δὸς φαγεῖν.

ις'. ***Διοσπολίτης ποιεῖ πρὸς τὰ διατρέχοντα πνεύματα καὶ ὀξυρεγμίας καὶ δυσπεψίας.*** — Κυμίνου πεφρυγμένου Γο γ', πετροσελίνου Γο ας', ζιγγιβέρεως Γο α', πεπέρεως Γο α', πηγάνου φύλλων χλωρῶν Γο β', βερνικαρίου Γο ς', μέλιτος ἀπαφρισμένου τὸ ἀρκοῦν.

f. 23r ιζ'. ***Ἐπομφάλιον καθαρτικὸν διὰ πείρας.*** — Ἐπιτιθέμενον τῷ ὀμφαλῷ δακτύλων δ', κατὰ τετράγωνον ἴσον· μετὰ δὲ τὴν ἐπαρκῆ κάθαρσιν ἀφαίρει, κατάγει δὲ καὶ ἔμβρυα νεκρὰ καὶ ζῶντα· ἤρας ἀλεύρου Γο α', σκαμμωνίας Γο α', κνιδοκόκκου Γο δ', ἑλλεβόρου λευκοῦ Γο α', ζιγγιβέρεως < δ', ἐλατῆρος Γο β', τιθυμάλλου ὀποῦ Γο β', χολῆς ταυρείας Γο ας', τερεβινθίνης Γο ας', λαθυρίδων Γο α', λειώσας ἅπαντα ἀναλάμβανε καὶ ἐπίπλασσε εἰς ὀθόνιον ἢ ἐπίχριε· δόκιμόν ἐστιν.

ιη'. ***Ἐμμηναγωγὸν διὰ πείρας.*** — Ὥστε καὶ πρεσβυτικὰς ἕξεις κρίνειν καὶ ἄγειν αὐτῶν τὰ ἔμμηνα· ζιγγιβέρεως τρώγλης < α', γλήχωνος < ας', σεσήλης Γραμ. ας', λεῖα ποιήσας, δὸς πίνειν μετὰ οἴνου καλοῦ· δόκιμον.

ιθ'. α') λίθου γαγάτου < β', χαλβάνης < α', συμμίξας καὶ περιτυλίξας καλῶς τὴν γυναῖκα ὑποκάπνιζε. Καλὸν καὶ δόκιμόν ἐστιν. β') ἐλελίσφακον, πήγανον, γλήχωνα, ἀρτεμισίαν, ἀνήθου ἀνὰ Γο α', πεπέρεως κοκκία κ', ζέσας σὺν ὕδατι ξέστ. β', ἕως ληφθῇ ξέστ. α', πρόσ-
f. 23v πλεξον μέλιτος τὸ ἀρκοῦν καὶ δίδου πίνειν νήστει κυάθους β'· πιούσης | δὲ αὐτῆς κέλευσον αἰωρηθῆναι[1] καὶ θαυμάσεις.

β'. ***Ὥστε καὶ τὰς δυσχρόους εὐχρ⟨ο⟩ωτέρας ποιῆσαι***·— γάλα βόειον μετὰ ἐλαίου ὀμφακίνου μίξας, δός πίνειν καὶ θαύμασον.

***Ἔμμηνα καὶ οὖρα ἄγον ἀκινδύνως.***— Χαμαίμηλον ξηρὸν κόψας, σήσας, οἴνῳ ἀναλαβών, δίδου καρύου ποντικοῦ τὸ μέγεθος μετὰ οἴνου.

κ'. ***Ἐντατικὸν ποτόν.*** — Λιβάνου ἄρρενος Γο α', ζιγγιβέρεως τρώγλης Γρ. α', εὐφορβίου κεράτ. γ', πεπέρεως Γρ. ε', σατύρου Γρ. α', ἐπιθυμίου Γρ. α', εὐζώμου σπέρμα Γρ. ς', ἀναλάμβανε γλυκεῖ κρητικῷ καὶ ποίει τροχίσκους αα < α'· τροχίσκος α' μετὰ κονδίτου εἰς ἐμβάτην.

κα'. ***Ἐντατικὸν ἡδονικὸν καὶ εὐσύλληπτον.***— Εἰ γὰρ πρὸ ὥρας τῆς συνουσίας πάσει τὸ αἰδοῖον αὐτοῦ καὶ συνέλθει, οὐκ ἐπιγνώσεται αὐτὸ[2] ἡ γυνὴ διὰ τὴν πολλὴν ἡδονήν. Ἐὰν δὲ ἡ γυνὴ ἐν κρόδει (sic) ἀναλαβοῦσα πρόσθηται, ἔσται ἔνστασις μεγάλη καὶ ἡ ἡδονὴ τοῦ ἀνδρός. σατυρίου σπέρμα Γο ας', πεπέρεως < α', στυπτηρίας σχιστῆς < β', ξηροκηροῦ καλοῦ Γο β', ἐν ὑαλίνῳ ἀγγείῳ ἀπόθου.

f. 24r | ***Χρίσματα. ἐντατικὸν χρῖσμα.***— Εὐφορβίου, εὐζώμου σπέρμα, πεπέρεως, σατυρίου ἀνὰ Γρ. ς', ὑποβαλσάμου, δαφνίνου αα < δ', χρῶ κατὰ τῆς ὀσφύος, ἤτρου καὶ τοῖς μορίοις. ***Ἄλλο.*** Εὐζώμου σπέρμα Γρ. β', πεπέρεως Γο α', λειώσας μετ' οἴνου, πότιζε. ***Ἄλλο.*** Ἀνήθου σπέρμα ὥριμον < α', σὺν οἴνῳ λειοτριβήσας, δός πιεῖν.

κβ'. ***Ποτόν.***—Ἐντατικὸν ποτὸν διὰ πείρας. Σκίγκου οὐρᾶς καὶ ζιγγιβέρεως, καρδάμου σπέρμα, εὐζώμου σπέρμα, πυρέθρου ἀνὰ < β', πεπέρεως, καρυοφύλλου ἀνὰ < α', ἡ τελεία δόσις γράμ. θ', τοῖς δὲ γράμ. ς',[3] οἷς δὲ γράμ. ς'· μετὰ κονδίτου κράσεως μιᾶς, θερμάνας δίδου

1 ἐωρισθῆναι 2 αὐτὴν 3 add. in marg. τὸ γράμμα ἔχει ς' ξυλοκέρατα.

πιεῖν νήστει εἰς κοίτην· δόκιμον. Τοῦτο δέδωκα νήστει γραμ. δς', καὶ εἰς κοίτην γραμ. δς', μετὰ κονδίτου κράσεως ἓν θερμὸν καὶ εὐδοκίμησα. *Ἄλλο.* Ἄριστον δὲ πρὸς ἔντασιν πόμα ἐστὶ τόδε· καρπὸν κισσοῦ μέλανος, χαμαιμήλου τὸν κόκκον, τὰ ἄκρα τῆς ὀξυσχοίνου ἀνὰ < δ', πράσου σπέρμα, εὐζώμου σπέρμα, σατυρίου ἀνὰ < β', πεπέρεως < α', οἴνῳ ἀναλάμβανε καὶ ποί|ει τροχίσκους... καὶ δίδου μετὰ οἴνου, λουομένῳ ἢ λουσαμένῳ, ὅτε ἔντασιν ἐργάζεται f. 24v καὶ δὸς ποτίζειν ἀφεψήματι ἐρεβίνθων,... καὶ ἑκατέρου κυάθους γ', ἡδυόσμου λείου προσεμπεπασμένου ὀβολοὺς γ', οὐδεὶς δὲ ὁπότε τις λαμβάνει τὸν τροχίσκον πληροῦσθαι τροφῆς, οἴνου δὲ πλείονος ἐμπίνειν.

κγ'. *Διουρητικόν.*[1] — Σατυρίου τοῦ ἄνω ὄρχεως < ε', οὕτω γὰρ ἐπεγείρει τὸ αἰδοῖον· ὁ δὲ κατώτερος ὧν ἀντιφάρμακον κατασπᾷ· πεπέρεως λευκοῦ κοκκία η', φλοιοῦ λιβάνου < α', εὐζώμου σπέρμα < β', σκίγκου τῆς οὐρᾶς ἄκρας < α', ἀναλάμβανε γλυκεῖ κρητικῷ ἡ δόσις < α'· μετὰ ἀκράτου λύσις (sic), θρίδακος σπέρμα λευκὸν < α' λειώσας, πότιζε ὕδατι κυάθους β'.

κδ'. Σκίγκου οὐρᾶς < δ', πεπέρεως μακροῦ α', πεπέρεως κοινοῦ < α', εὐζώμου σπέρμα < ις', σατυρίου σπέρμα < α', μέλιτος < α', ποίησον τροχίσκους ἀνὰ < α', καὶ δίδου μίαν (sic) μετ' οἴνου.

κε'. ***Ἐπίδεσμος πρὸς θλάσματα καὶ κρούσματα καὶ τὰ ἐκκεκλιμένα καὶ πρὸς ψοῶν πόνους***[2]. | Ἀμμωνιακοῦ θυμιάματος, λιβάνου, μαστίχης, κολοφωνίας, ξηροπίσσης, καὶ ποιήσας f. 25r ξηρίον, καὶ ᾠοῦ τὸ λευκὸν ποιήσας γλοιῶδες καὶ στυπίῳ ἐπιπλάσας χρῶ.

***Ἔμβρυα νεκρὰ ἐκβάλλει*** κυνεία κόπρος ὑποθυμιωμένη, ἔστι δὲ καὶ εὔτοκος.

κς'. ***Ἐγκόλπισμα γυναικεῖον πρός ῥευματιζομένην μήτραν καὶ ἡλκωμένην καὶ καρκίνωμα χρόνιον.*** Βάτου φύλλα, φακῆς Ἀλεξανδρείας, φύλλα μύρτων, φύλλα σχοίνων, ῥόδων ξηρῶν, τήλης, λινοσπέρμου, πάντα ταῦτα βρέξον εἰς ὕδωρ καὶ ἕψε, ἵνα παχυμερὲς γένηται καὶ ἀποσειρώσας ἔγκλυζε τὸ ἀρκοῦν.

κζ'. ***Ἐπομφάλιον, ἔμβρυα καὶ ἔμμηνα κατάγον, ἐπιτιθέμενον ἐπὶ τοῦ ὀμφαλοῦ καὶ κοιλίαν κενοῦν, ἐμετόν τε***[3] ***ποιοῦν, ἐὰν ἐπὶ τοῦ στομάχου τεθῇ.***—Ἐλατηρίου < γ', κολοκυνθίδος ἐντεριώνης < γ', σκαμμωνίας < α', λαθυρίδων κεκαθαρμένων < α', τιθυμάλλου ὀποῦ < α', λεπίδος χαλκοῦ < α', σικύου ἀγρίου ῥίζης < α', λαίανε μετ' ἐλαίου ἁλῶν ἔχοντος καὶ χρῶ. Ἐγὼ δὲ ἄλειμμα αὐτὸ ἐσκεψάμην ποιῆσαι καθάπερ ὁ Ἀλέξανδρος ἐχρᾶτο ἐν κρατίστοις[4], ἤλειφε γὰρ τὴν κοιλίαν τοῖς ξηρὰς ἔχουσι γαστέρας, καὶ ἐμαλάττοντο αὐτῇ[5] θαυμαστῶς.

κη'. ***Ἔγκυον γυναῖκα ὑπὸ χολῆς ἀσθενοῦσαν θεραπεύειν.*** — Πτισάνης χυλὸν ἐπίπασσον, ῥοῦν[6] συριακὸν ἢ τὸν ἐκ τῆς συκαμίνου καὶ ψυχρὸν ῥοφάτω[7] καὶ καταστήσει. f. 25v

κθ'. ***Ἐπίχρισμα πρὸς λειχῆνας ἀγρίας διὰ πείρας.***— Ἀσβέστου Γ° δ', ἀρσενικοῦ Γ° α', ἀφρονίτρου[8] δραχμὴν μίαν, γάρου καλοῦ τὸ ἀρκοῦν, γλοιῶδες ποιήσας ἐπίχριε πτερῷ παχύτερον καὶ ἔα ξηραίνεσθαι. ἀποπίπτει δὲ μετὰ τῆς ἐσχάρας μετὰ ζ' ἡμέρας, ἔπειτα χρῶ τῇ φοινικίνῃ ἐμπλάστρῳ μέχρις ἐπουλώσεως.

***Γαληνοῦ.*** — ***Ἔμπλαστρος ἡ φοινικίνη Γαληνοῦ.*** — Λιθαργύρου λελειωμένης λίτρ. γ', χαλκίτι⟨δος⟩ Γ° δ', ὀξυγγίου παλαιοῦ ἀνάλου ἐκτετηγμένου λίτρ. β', ἐλαίου παλαιοῦ λίτρ. γ'. Πρῶτον ὀλίγον ἐλαίου φῦραι τὴν χαλκῖτιν, εἶτα μετὰ ⟨λι⟩θαργύρου μίξας ὅλον τὸ ἔλαιον ἐπίχες τὸ ὀξύγγιον ἐκτετηγμένον εἰς αὐτὸ καὶ βαλὼν εἰς κακάβην ἕψε, μαλθακῷ πυρί, κινῶν σπάθῃ φοινικίνῃ.

---

[1] διοριτικον [2] πόνων [3] ἐμετοῦν [4] ἐνκριτυστοίς [5] αὐτοί [6] ρούς [7] ροφάτον [8] ἀφουνίτρου.

λα΄. *Ἔμπλαστρος ἡ διὰ ζύμης.*— Ποιεῖ σπληνικοῖς, διαλύει καὶ διαφορεῖ πάσας[1] σκλη-
f. 26r ρίας, πόρους, φύματα | βουβῶνας, χοιράδας, πανούκλας, δοθιῆνας. κηροῦ, πιτυΐνης[2], ζύμης κριθῆς ᾱᾱ Γο ς΄, λιβάνου, ἀμμωνιακοῦ θυμιάματος, ἅλατος πεφρυγμένου ᾱᾱ Γο ας΄, νίτρου Γο β΄, χαλβάνης Γο α΄, τερεβινθίνης Γο α΄, ἐλαίου παλαιοῦ ἢ σικυώνης Γο δ΄, ὄξους τὸ ἀρκοῦν.

ξβ΄. *Περὶ τῶν ἔξωθεν ἐπιτιθεμένων τοῖς διακαιομένοις τὸν στόμαχον.*—Ἐπιτίθει δὲ ἔξωθεν φῦσαν πληρώσας ὕδατος ψυχροῦ ἢ χιόνος, ἐπιβάλλων τὰ ξέσματα τῆς κολοκύνθης ἢ σήσαμον ὠμόν, ὕδατι[3] βρέξας καὶ λειώσας, πρόσπλεξον ἔλαιον ῥόδινον καὶ κατάπλαττε, μάλιστα πυρέττοντας· ἢ μήλου (sic) φύλλα χλωρὰ λεῖα, ἢ μῆλα κυδώνια, ἢ φοινικοβαλάνου, ἢ μέσπιλα μετὰ κηρωτῆς ἢ τυρὸν ἁπαλὸν μετὰ ἀλφίτων κατάπλασσε καὶ καθόλου πᾶσιν, ὡς ἐπὶ τῶν καρδιακῶν κέχρησο.

ξγ΄. *Περὶ τῶν διὰ μελαγχολίαν ἐμφυσωμένων τὸν στόμαχον.* — Τοῖς φυσωμένοις τὰ
f. 26v ὑποχόνδρια καὶ τὸν στόμαχον, διαλυομένων μελαγχολικῶν περιττωμάτων, σπόγγους | ἐν ὄξει δριμυτάτῳ βεβρεγμένους ἐπιτίθει· ἢ κισσοῦ φύλλα ἑφθοῖς ἐν οἴνῳ κατάπλασσε· ἢ ἀγελαίας βόλαυστον (!) ξηρὸν ἢ ἑψημένον ἐν οἴνῳ· εἰ δὲ πνεύματα μέσῳ μάλιστα τοῦ στομάχου, καλαμίνθης ἀφέψημα, ἐξηφρισμένου τοῦ ὕδατος, μίξας ὀλίγου μέλιτος καὶ πεπέρεως < α΄, δίδου τὸ ποτόν[4]. πνεύματα μὲν διαλύει, οὐ ποιεῖ δὲ πρὸς θερμὰς δυσκρασίας καὶ τοῖς ἐξ ὑπεροπτήσεως γεννῶσι χυμὸν μέλανα[5], ἀλλὰ μᾶλλον ἐκείνοις, οἷς μελαγχολικὸς γεννᾶται χυμός.

ξδ΄. *Ἡ διὰ τῶν ὀπωρῶν ποιοῦσα πρὸς ἀνατροπὰς στομάχου καὶ κοιλιακοῖς καὶ δυσεντερικοῖς.* — Μῆλα κυδώνια, ῥοῦ ἐρυθροῦ ἀνὰ < α΄, ὕδνα χόας ζ΄, ὕδνα μέσπιλα η΄, τὰς ὀπώρας θλάσας καὶ βαλὼν εἰς τὸ ὕδωρ ἕψε φιλοπόνως καὶ ὅταν διαλυθῇ (sic) ἔκθλιβε τὸ ὑγρὸν καὶ πάλιν ἕψε, ἐκβαλὼν τὸ χυλῶδες τῶν ὀπωρῶν καὶ ὅταν τὸ τρίτον ὑπολειφθῇ, ἐπίβαλλε μέλιτος ἀττικοῦ λίτρ. δ΄, καὶ ἕψε ἐπ᾽ ἀνθράκων κινῶν συνεχῶς καὶ ὅταν συστραφῇ ἄρας χρῶ πρὸ τροφῆς.

f. 27r ξε΄. *Ἐπίθεμα στομαχικὸν ῥευματιζομένων καὶ ἐν πυρετοῖς καὶ κω|λικοῖς εἰς ... καὶ ἀπορρίπτουσι τὴν τροφήν.* — Σμύρνης, κρόκου, ἀλόης, μαστίχης, ἀψινθίου, στύρακος, ἀνὰ Γο α΄, κηροῦ, νάρδου, φοινίκων πατητῶν ἀνὰ λίτρ. α΄, καὶ ἡμίσειαν· οἴνου ἀδριανοῦ τὸ αὔταρκες, θέσεις τὴν τῶν φοινίκων ἀποβροχήν· τινὲς δὲ τοῦ κηροῦ καὶ τῆς νάρδου ἀνὰ Γο γ΄, βάλλουσι καὶ τοῖς ξηροῖς λελειωμένοις ἅμα τῷ στύρακι καὶ μίξαντες σμίγουσι καὶ λειώσαντες χρῶνται· ἡμεῖς δὲ ἀνὰ λίτραν α΄ βάλλομεν καὶ ὅ,τι ἂν γένηται κάλλιον.

ξς΄. *Ἄλλο, ποιοῦν πρὸς ἀτονοῦντας στόμαχον καὶ τοῖς μὴ δυναμένοις κατέχειν τὴν τροφήν.*— Φοινίκων πατητῶν Γο γ΄, οἰνάνθης, κηροῦ ᾱᾱ λίτρ. α΄, μαστίχης, λιβάνου, ἀκόρου, ᾱᾱ Γο α΄, οἴνου τὸ ἀρκοῦν. τὸν οἶνον μετὰ τῶν φοινίκων ἐκλειώσας, τὰ ξηρὰ συγκλείων, ἔπειτα τήξας τὸν κηρὸν μετὰ νάρδου Γο γ΄, ποιήσας κηρωτὴν ἀναλάμβανε τὰ ξηρὰ λεῖα καὶ ἑνώσας χρῶ.

ξζ΄. *Ἄλλο. Ἐπίθεμα στομαχικὸν ὁμοίως τονωτικόν.* — Οἰνάνθου, ὀμφακίου, ῥόδων
f. 27v ἄνθους, ἀλόης, ἡπατίδος, κηκίδων, ἀκακίας, βαλαυστίων, κυτίνων ῥοιᾶς ἀνὰ Γο α΄, φοινικοβαλάνου, κηροῦ τρακτοῦ, ἐλαίου σχινίνου ᾱᾱ Γο ας΄, μήλων κυδωνίων περιπεπλασμένων στέατι καὶ ὠπτημένης τῆς σαρκὸς Γο γ΄, κρόκου, ἀψινθίου ᾱᾱ < ας΄, μυρομηλίνου < η΄, οἴνου εὐώδους[6] φυράσας χρῶ.

---

[1] πάσης [2] πυίνου [3] ὕδωρ [4] ποτοῦν [5] μέλαινα [6] εὐώδη.

ξη΄. ***Ἄλλο.*** Πρὸς στόμαχον ῥευματιζόμενον καὶ κύνα. Κηκῖδος ὀμφακίτιδος Γ° δ΄, νίτρου Γ° ς΄, ἀλκυονίου Γ° δ΄, στρουθίου Γ° α΄, σέρεως Γ° γ΄.

ξθ΄. ***Ἄλλο.*** Σταφίδος[1] ἀφέψημα δὸς πίνειν καὶ τὰς σταφίδας δίδου φαγεῖν.

ο΄. ***Περὶ ἀντιδότων πρὸς ψυχρὰν δυσκρασίαν καὶ διὰ τοῦτο ἀπεπτοῦσι τὴν τροφήν.*** —Ἄριστόν ἐστι βοήθημα καὶ διὰ στόματος τοῦτο καὶ πλείστην δεδωκὸς πεῖραν, Στομαχικὸν κάλλιστον τοῖς φαγεῖν μὴ δυναμένοις· ἀνήθου σπέρμα, σελίνου σπέρμα, κυμίνου σπέρμα ἄμμεως ἀνὰ < α΄, πηγάνου σταθμὸν ἥμισυν, τουτέστι ὀβολοὺς[2] δ΄, ἀναλάμβανε μέλιτι καὶ δίδου κυάμου αἰγυπτίου.

οα΄. ***Ἄλλο.*** Κράμβη ἐκ τῶν ἀνύδρων τόπων χυλισθεῖσα δίδοται τοῖς κακοστομαχοῦσιν μετὰ μέλιτος ἑφθοῦ[3]. ἐκλείχειν καὶ ἵστησι τὸν ῥευματισμόν.

| οβ΄. ***Ἀλεξάνδρου. Στομαχικοῖς.*** — Τὸ διὰ κιτρίων. Πεπέρεως Γ° α΄, ἑλενίου β΄, ζιγγι- f. 28r
βέρεως < α΄, πετροσελίνου < α΄, ἀμώμου < β΄, μαστίχης < β΄, τοῦ ὄξους τοῦ κιτρίου λ. ἥμισ. ἕψε τὸν χυλὸν σὺν τῷ μέλιτι, ἕως ἀναλωθῇ πᾶς χυλός, ἔπειτα ἐξάρας κατάχεε τὰ ξηρὰ καὶ δίδου νήστει[4] κοχλιάριον ἕν.

ογ΄. ***Πρὸς ξηρὰν δυσκρασίαν ἀντίδοτος.*** — Σελίνου Γ° α΄, ἑλενίου Γ° δ΄, μαράθου σπέρματος Γ° γ΄, πεπέρεως μελανοῦ Γ° β΄, μέλιτος ἀττικοῦ λίτρ. β΄, ἐὰν δὲ μὴ παρῇ, ἕτερον ἀπαφρισμένον, ἐγὼ δὲ προσέθηκα εὐζώμου σπέρματος Γ° α΄, καὶ κατὰ πάντα μοι ἀπέβη καλλίων. ἔμιξα δὲ καὶ σήσονος συριακοῦ < β΄, σελίνου < α΄, καὶ τοῦ μέλιτος Γ° ς΄, ἢ καὶ περισσοτέρας· μέγιστόν ἐστι τοῦτο τὸ βοήθημα καὶ εἰς πολλὰ χρήσιμον, οὐ μόνον τοῖς φυσωμένοις τὸν στόμαχον καὶ ἀπεψίας ἐπιμενούσης πεποίηται, ἀλλὰ καὶ τῶν γυναικείων ἄγει τὰ καταμήνια. Ἐχρησάμην δὲ ἐγὼ καὶ ἐπὶ δυσπνοϊκοῖς καὶ παραδόξως ἐποίησεν ἡ δόσις κόκκους β΄, ὄρθρου καὶ εἰς κοίτην δίδου· ποιεῖ γὰρ καὶ ἐπὶ πάσης[5] βηχὸς καὶ τοῖς ἀπὸ κεφα-
λῆς τὸν θώρακα ῥευματιζομένοις | καὶ καθόλου ἐπὶ πάντων τῶν ἐντὸς διαθέσεων ποιεῖ δὲ f. 28v
καὶ ὄρεξιν ἐπιτεταμένην τοῖς ἐπιμόνως[6] αὐτῇ χρωμένοις.

οδ΄. ***Ἄλλο. Πρὸς τὰς αὐτὰς διαθέσεις.***—Μήλων κυδωνίων καθαρθέντων καὶ ἐκπεπιεσμένων μετὰ τὸ κοπῆναι λίτρ. γ΄, ζιγγιβέρεως, πεπέρεως λευκοῦ Γ° γ΄, χρησιμώτατά ἐστι τὰ βοηθήματα καὶ τοῖς περὶ τὸ ἧπαρ ἔχουσιν ἔμφραξιν καὶ ποτὲ μὲν οὕτω, ποτὲ δὲ καὶ ἄνευ τῶν ξηρῶν ἐπὶ τῶν ἐχόντων θερμὴν δυσκρασίαν· ἀντὶ ῥοδομέλιτος αὐτῷ χρῶμαι καὶ μάλιστα εὐλαβούμεθα οἶνον ἐπιδιδόναι.

οε΄. ***Πρὸς στόμαχον ἀπεμοῦντα τὴν τροφήν.***—Ἀλόης < ι΄, ῥόδων ξηρῶν < ι΄, λειάνας δίδου κοτύλας γ΄, ἢ δ΄, εἰ δὲ θέλεις ὑποκαθᾶραι τὸν ἐν τῷ στομάχῳ χυμόν, πρόσμιξον μαστίχης < ἡμίσ. καὶ ἀποκαθαίρει καλῶς.

ος΄. ***Πρὸς ἐμπνευματώσεις στομάχου καὶ ἐντέρων ποιοῦν καὶ ἀπεπτοῦσι[7], ἡπατικοῖς, βηχικοῖς ἐφ' ὧν ψυχρὸν τὸ αἴτιον.***—Πεπέρεως Γ° γ΄, λυβιστικοῦ ἄμμεως $\overline{αα}$ Γ° γ΄, ἐπιθύμου καθαροῦ σπέρματος, γλήχωνος ξηρᾶς ἀνὰ Γ° α΄, μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν· τινὲς
δὲ καὶ σελίνου σπέρ|ματος προσέπλεξαν καὶ πηγάνου Γ° ς΄. Ἡ δόσις κοχλιάριον ἕν. f. 29r

οζ΄. ***Ἄλλο. ποιοῦν πρὸς ἐμπνευματώσεις καὶ πόνον καὶ πρὸς πᾶσαν ὀδύνην[8].*** — Πεπέρεως, πετροσελίνου, ἀνὰ Γ° β΄, κυμίνου, δίδου μετὰ τὸ βαλανεῖον.

οη΄. ***Ἄλλο. πρὸς στομαχικοὺς καὶ πρὸς κωλικούς.*** — Ἴρεως Ἰλλυρικῆς κόψας, σήσας

[1] σταπίδός σταπίδας [2] ὀβολῶς [3] ἐφθῷ [4] νήστης [5] πάσι [6] ἐπιμόνοις [7] ἀπεπτούτων.

[8] cf. ALEXANDER TRALLIANUS (ed. Puschmann, p. 275 - 279.)

δός πιεῖν νήστει μεθ' ὕδατος θερμοῦ, δειπνήσαντι δὲ μετὰ οἴνου κεκραμένου. ἔστω δὲ ὁ σταθμὸς τῆς δόσεως γρ. γ', μὴ αὐτοῦ καταφρονήσῃς· καλῶς ποιεῖ.

οθ'. ***Ἄλλο. ποιοῦν καὶ πρὸς ἄλλα πολλά.*** — Λιβυστικοῦ, ἄμμεως, σελίνου σπέρματος, καρόου $\overline{αα}$ < γ', πεπέρεως κόκκους κ', μέλιτος τὸ ἀρκοῦν, δίδου κοχλ. ἕν νήστει καὶ εἰς ὕπνον τρεπομένῳ.

π'. ***Ἀντίδοτος στομαχικὴ ἡ πικρά.*** — Σχοίνου ἄνθους, ξυλοβαλσάμου, μαστίχης, νάρδου στάχυος, ἀσάρου, κρόκου $\overline{αα}$ < α' ἡμίσ., κασίας < γ', ἀλόης ἡπατίτιδος πεπλυμένης καὶ ἐψυγμένης < γ'.

πα'. ***Ἄλλο στομαχικόν, ποιοῦν καὶ πρὸς αἱμοπτοϊκούς.*** — Πετροσελίνου σπέρμα κυμίνου $\overline{αα}$ < δ', ἀναλαβὼν νῆστις καὶ ἑσπέρας εὐκράτου.

πβ'. ***Κοπτὸν πρὸς σκληρίας στομάχου.*** — Προπόλεως Γ°, στύρακος Γ° γ', μαστί-
f. 29v χης Γ° α' | τερεβινθίνης Γ° ϛ', τρυγός[1], νάρδου τὸ ἀρκοῦν[2].

πγ'. ***Μάλαγμα καλόν.*** — Τοῦτο τὸ φάρμακον ποιεῖ πρὸς σκληρίαν στομάχου καὶ ῥευματισμὸν καὶ ὀδύνην, ὥστε ἐν τρισὶν ὥραις ἀνώδυνον γενέσθαι μετὰ ὠφελείας. Ἔχει δὲ καὶ τοῦτο ἐγγραφῆ οὕτως : κηροῦ ποντικοῦ Γ° ϛ', τερεβινθίνης Γ° γ', ζιγγιβέρεως Γ° β', ὀποπάνακος Γ° α', ἀλόης Γ° γ', σμύρνης, χαλβάνης $\overline{αα}$ Γ° α'. Τὸ σμύρνον οἴνῳ λείωσον καὶ τῇ τηκτῇ[3] ἐπίπασσε τὰ ξηρά· ἔστω δὲ τετραδάκτυλον τὸ σπλήνιον[4].

πδ'. ***Ἐπίθεμα πρὸς ⟨στόμαχον⟩[5] τῶν ἐχόντων ἀπὸ ψυχροῦ χυμοῦ φλεγμονήν.*** — Κάλλιστόν ἐστι βοήθημα, ἐπίθεμα τὸ εὐῶδες καλούμενον, οὗπερ καὶ σκευασίαι εἰσί πολλαί, ἀλλ' ἥσπερ ἐγὼ ἔσχον πεῖραν· ἔστιν αὕτη : βδελλίου Γ° αϛ', κηροῦ λίτραν μίαν, κολοφωνίας λιτρ. β', ἀλόης Γ° β', σμύρνης φύλλων αα Γ° β', προπόλεως Γ° γ', τερεβινθίνης, λιβάνου αα Γ° γ', ναρδοστάχυος, καρδαμώμου $\overline{αα}$ Γ° α', ἡδυχρόου μίγματος Γ° αϛ', ἀμμωνιακοῦ θυμιάματος Γ° ἡμίσ. τούτου[6] μηδὲν προτιμήσῃς ἐφ' ὧν ἐστι ψυχρὰ δυσκρασία πολλὴ καὶ
f. 30r σκληρία | τις ἐνοχλοῦσα καὶ φλεγμονὴ καὶ ὀδύνη καὶ διατάσεις γίγνονται, οὐ μόνον δὲ κατὰ στόμαχον, ἀλλὰ καὶ κατὰ τοῦ ἥπατος καὶ ἐντέρων φυσωμένων καὶ κοιλιακῶν ὀδύνας ἐπιμενόντων ἐστὶν ἐπιτήδειον.

πε'. ***Ἐπίθεμα.*** — Ἱερατικοῦ[7] τοῦ διὰ μελιλώτου, κύφεως καὶ τούτου τὴν γραφὴν ἐξεθέμην ἐνταῦθα διὰ τὸ εὐχερῶς εὑρίσκειν τοὺς ζητοῦντας. Ἔχει δὲ ἡ γραφὴ τούτῳ οὕτως : νάρδου κελτικοῦ, κυπέρου, σμύρνης $\overline{αα}$ < ι', καρδαμώμου, κρόκου, ἀμμωνιακοῦ θυμιάματος, αα < η', κύφεως ἱερατικῆς < ιβ', τερεβινθίνης < η', κηροῦ μνᾶν α', ἐλαίου εὐώδους κοχλιάριον. α'. Ποιεῖ καὶ τοῦτο οὐ μόνον ⟨πρὸς⟩ [τὸν] στόμαχον ἀλλὰ καὶ πρὸς τὰς τοῦ ἥπατος ὀδύνας καὶ πρὸς ἄλλα πολλά.

πϛ'. ***Μάλαγμα τὸ Πολυάρχιον.*** — Ποιεῖ περὶ πνευμονικά, ἡπατικά, σπληνικά, ὑδρωπικά, νεφριτικά· πρὸς τὰς περὶ κύστιν καὶ μήτραν διαθέσεις, νευρικὴν συμπάθειαν· Κηροῦ μνᾶν α', μέσυ μνᾶν α', κυπέρου μνᾶν α', ἀμμωνιακοῦ θυμιάματος < κθ', ξύλου κινναμώμου < κε',
f. 30v ἐλαίου κυπρίνου ξες. α' < οἴνου Ἰταλικοῦ, ὅσον ἐξαρκεῖ >· χρῶ ποτὲ μὲν ἀκράτῳ, ποτὲ δὲ ἀνειμένῳ ἢ κηρωτῇ διὰ κυπρίνου. — ***Ἄλλο.*** Ἀψινθίου χυλοῦ Γ° γ', οἰνάνθης, νάρδου $\overline{αα}$ Γ° γ κηροῦ Γ° ἡμίσ., τῆκε κηρόν, νάρδου σὺν τοῖς ἄλλοις λεαίνων, ἀναλάμβανε κηρωτῇ ξεομένῃ.

πθ'. ***Ἐπίθεμα ὀδύνης στομάχου.*** — Θείου ἀπύρου Γ° β', μαστίχης Γ° β', κηροῦ

---

[1] τρυγόνος [2] ALEXANDER TRALLIANUS Ibid. p. 297 f. [3] τὴν τηκτὴν [4] δυσπληνικὸν [5] στόμαχον om [6] τοῦτο [7] ἱερατικά.

λιτρ. α΄, ἰρίνου ἐλαίου λιτρ. αϛ΄. Τὸ θεῖον καὶ τὴν μαστίχην λειοτριβήσας, τὰ τηκτὰ τήξας ἐπικατάραινε[1] τῇ θυίᾳ καὶ ἀναμαλάξας χρῶ.

ϙ΄. *Ἄλλο.* Πρὸς πᾶσαν φλεγμονὴν στομάχου καὶ πρὸς πᾶσαν σκληρίαν καὶ μάλιστα ἐφ' ὧν καταψύξεις καὶ ὑδερικὴ μελετᾶται διάθεσις[2] καὶ ἁπλῶς εἰπεῖν ἐφ' ὧν ἐμπνευμάτωσις[3] γίνεται ἐν τοῖς ὑποχονδρίοις[4]. Στύρακος ἰσαυρικοῦ Γο γ΄, ἀλόης ἡπατίτιδος Γο γ΄, τερεβινθίνης, λαδάνου ἀα Γο β΄, βδελλίου διαυγοῦς Γο γ΄, εὐφορβίου νεαροῦ Γο α΄, κρόκου ἀφροῦ Γο γ΄, ὀξιγγίου νεαροῦ χοιρείου Γο γ΄, ναρδομύρου Γο β΄, κηροῦ ποντικοῦ Γο ιβ΄, σκόρδου καθαροῦ Γο γ΄, κρόκου Γο γ΄, οἴνου εὐώδους τὸ ἀρκοῦν.

ϙα΄. *Περίχρισμα στομάχου καὶ ἄλειμμα πρὸς ψυχρὰν δυσκρασίαν | Μαρκίατον.* — f. 31r
Πολλὰ μὲν οὖν εἰσι καὶ ἄλλα πρὸς ψυχρὰν δυσκρασίαν εὐδόκιμα καὶ ἐν τοῖς ἁπλοῖς καὶ τοῖς συνθέτοις, ἀλλ' ἔχει τι πλέον καὶ τὸ καλούμενον Μαρκίατον καὶ ὑπὲρ τὸ δεκάμυρον καὶ πεντάμυρον εὐωδέστερόν ἐστι μετὰ τοῦ μαλάττειν· τήκει σκληρίαν καὶ χρεία τούτου τονοῦν τὸν στόμαχον, ἔχει δὲ αὐτοῦ ἡ σκευασία οὕτως: στύρακος καλαμίτου· Γο δ΄, κηροῦ, μυελοῦ ἐλαφείου ἀα Γο β΄, τερεβινθίνης <δ΄, ὑσσώπου Γο α΄, ὀποβαλσάμου Γο αϛ΄, ἐὰν ἐστι νέον, εἰ δὲ μή γε καὶ δύο. δεῖ μιγνύειν νάρδου Γο γ΄, χρῶ.

ϙβ΄. *Ἑτέρα σκευασία μαρκιάτου πάνυ καλὴ καὶ αὐτή.* — Ἔχει δὲ οὕτως: στύρακος καλαμίτου Γο γ΄, μυελοῦ ἐλαφείου Γο γ΄, ἀλόης ἡπατίτιδος, μαστίχης, νάρδου, ὀποβαλσάμου ἀα Γο β΄, κηροῦ Γο ε΄, σκεύαζε καὶ χρῶ ἐν καιρῷ.

ϙγ΄. *Ἄλειμμα μυρόκοπον.* — Δεῖ δὲ σκευάζειν αὐτὸ οὕτως: σμύρνης τρώγλης Γο γ΄, μύρου συριακοῦ Γο α΄, ὀποῦ βαλσάμου Γο α΄, μέλιτος Γο γ΄, τερεβινθίνης Γο αϛ΄, εὐφορβίου Γο α΄.

ϙδ΄. *Ἔμβαμμα πρὸς κατεψυγμένον στόμαχον.* | — Ἀρκευθίδων, πεπέρεως ἀα Γο β΄, f. 31v
σμύρνης <β΄, πετροσελίνου <α΄, μέλιτος τὸ ἀρκοῦν. Χρῶ ὡς κάλλιστον.

ϙε΄. *Ἐπὶ παντοίων στομαχικῶν, τροχίσκος ὁ τῶν ἀμαζόνων.* — Ὁ τῶν ἀμαζόνων οὗτος ὁ τροχίσκος πολλὴν δέδωκε πεῖραν, ἐφ' ὧν ὀδύναι περὶ τὸν στόμαχον ἰσχυραὶ γίγνονται. Ἔχει δὲ οὕτως: σελίνου σπέρμα, ἀνίσου, ἀψινθίου, σμύρνης, πεπέρεως· ἐν ἄλλῳ ζιγγιβέρεως ἀα <β΄, ἀνάπλαττε δι' ὕδατος καὶ ποίει τροχίσκους ἄγοντας ἀα <α΄· δίδου στομαχικοῖς πρὸ πόματος κυάθους Γ΄, χολερικοῖς καὶ τοῖς ἐμοῦσι τὴν τροφήν, μετὰ ψυχροῦ· κοιλιακοῖς καὶ δυσεντερικοῖς μετὰ μύρτου ἀφεψήματος· τοῖς δὲ σπληνικοῖς μετ' ὀξυμέλιτος· καὶ πρὸς ἄλλα πολλὰ ποιεῖ οὗτος ὁ τροχίσκος καὶ μάλιστα τοῖς ἐμοῦσι καὶ δακνομένοι⟨ς⟩ τὸν στόμαχον ὑπὸ μοχθηρῶν χυμῶν.

ϙϛ΄. *Περὶ ἀντιδότων· Πρὸς ἀμφημερινοὺς τεταρταίους*[5]. — Ὀπίου, ὀποπάνακος, καστορίου, δαύκου σπέρματος ἀα <δ΄, λεῖα ποιήσας, πρόσμιγε μέλιτι ὀλίγῳ, ἀνδρὶ μὲν ὁλκήν, παιδίοις ὀβολοὺς β΄. Χρῶ ὡς παραδόξῳ | μετὰ ὀλίγου μέλιτος, πρὸ ὥρας τῆς ἐπισημασίας. f. 32r

ϙζ΄. *Περὶ ἀλοιφῆς. Ἄλειμμα ἰσχυρόν*[6]. — Πύρεθρον καὶ νίτρον καὶ πέπερι ἐξ ἴσου καὶ γλήχωνος προσπλέξας, μετὰ ἐλαίου συλλειώσας ἄλειφε τὰ ἄκρα καὶ τὴν ῥάχιν. θαυμαστὸν ἐστι τὸ ἄλειμμα καὶ πάνυ ποιοῦν τοῖς σφόδρα κατεψυγμένοις καὶ χρονίσασιν ἐν τῇ νόσῳ

ϙη΄. *Ἄλλο.* — Νίτρον μετ' ἐλαίου λειώσας ἀνάτριβε τὰ ἄκρα τοῦ νοσοῦντος καὶ ἐν λουτρῷ καὶ ἐκ τοῦ λουτροῦ. Κινεῖ γὰρ ἱδρῶτας καὶ ὠφελεῖ.

---

[1] ἐπικατάρρα [2] διαθέσεις [3] πνεύματος [4] ὑποχονδρίων [5] ALEX. TRALLIANUS I, 403.
[6] Ib. 405.

ϟθ'. ***Ἀντίδοτος ἡ ἀχάριστος***[1]. — Πρὸς τεταρταίους καὶ εἰς πολλὰ πάθη τὰ ἐντός. Κρόκου πρωτείου Γο δ', ὀπίου, χαλβάνης, στύρακος πρωτείου αα Γο ζ', ζιγγιβέρεως Γο α', καστορίου Γο ζ', κόστου Γο γ', πεπέρεως Γο ιδ', ναρδοστάχυος Γο ζ', μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν. Δίδου κυάμου αἰγυπτίου τὸ μέγεθος πρὸ τῆς ἐπισημασίας.

ρ'. ***Πρὸς τεταρταίους.*** — Τροχίσκος κάλλιστος θεραπεύων τάχιστα. Ὀπίου, πεπέρεως καστορίου αα < α', οἰνομέλιτι ἀνάπλαττε καὶ πότιζε σὺν ὀξυμέλιτος.



f. 32v ρα'. ***Ἄλλο ἁπλοῦν.*** — Τὸ ζέμα τῆς σκορπιούρου βοτάνης. Θαυ|μαστῶς βοηθεῖ, ποιεῖ ἐπὶ πάντων πρὸ τῆς ἐπισημασίας πινόμενον . . . ἄλλοι καὶ διὰ γαστρός.

ρβ'. ***Περίαπτον πρὸς τοὺς τεταρταίοντας***[2]. — Λαβὼν σαῦραν χλωρὰν περίαψον αὐτοῦ τοὺς ὄνυχας καὶ ἐξ αὐτῶν ἔκκοψον, ὥσπερ εἰώθασιν οἱ ὀνυχιζόμενοι. καὶ ἐμβαλόντα καὶ ἀσφαλισάμενον οὕτω περιάπτειν. καὶ πάλιν ἀπολύειν αὐτὴν[3] ὅθεν ἐθηρεάθη.

---

[1] Ib. 428 f. [2] Ibid I, 437. [3] αὐτὸν

ρy'. *Ἄλλο.* Ἐκ τῆς γενειάδος τοῦ τράγου εἴ τις ἀπολαβὼν τρίχας περιάψει τοῦ πάσχοντος, θαυμαστῶς θεραπεύειν δύνασθαι τὸν τεταρταῖον[1].

ρδ'. ***Ροδόμελι καθαρτικόν***[2]. — Ρόδων χυλοῦ ξέστ. β', μέλιτος ξ. α', σκαμμωνίας ὀπτῆς Γ° α', ἕψε ὁμοῦ ἀμφότερα. Ἡ δόσις κοχλιάρια ζ', ἢ γ', ἢ ἔλαττον β'. Τοῦτο ἐπιδιδόναι τοῖς τετραΐζουσιν ἀλλὰ καὶ ὀφθαλμιῶσι. καὶ ἄλλα ποιεῖ ἀσθενοῦσι διὰ χολικὴν καὶ θερμὴν δυσκρασίαν.

ρε'. ***Ἄλλο. Ροδόμελι καθαρτικόν***[3]. — Ρόδων χυλοῦ ξε' α', σκαμμωνίας Γ° α', ἀγαρικοῦ < α', πεπέρεως Γ° βς', ἕψε μαλακῷ πυρὶ καὶ ὅταν συστραφῇ ἐπίβαλε τὴν σκαμμωνίαν καὶ τὸ ἀγαρικὸν καὶ τὸ πέπερι καὶ χρῶ. Ἡ δόσις κοχλιάρια ε', ἢ ς'. Τοῦτο ἁρμόζει τοῖς τὸν νό|θον ἔχουσιν... ὑπακτικόν... τὸ πέπερι. f. 33r

ρς'. ***Ἐπίθεμα πρὸς ἄνθρακας, γαγγραίνας καὶ... χοιράδας καὶ ποδάγρας.***— Λιθαργύρου λίτρ. α', ἐλαίου παλαιοῦ λίτρ. ας', ἀρσενικοῦ Γ° α', ἕψε τὸ ἔλαιον καὶ τὴν λιθάργυρον ἕως μελιτώδους συστάσεως καὶ ἄρας ἀπὸ τοῦ πυρὸς ἐπίβαλε τὸ ἀρσενικὸν καὶ πάλιν ἐπιθεὶς ἕψε ἕως μέλαν γένηται· καὶ ψύξας καὶ μαλάξας χρῶ, ἐπὶ μὲν χοιράδων ὡς ἔχει, ἐπὶ δὲ τῶν ἄλλων ἀναλύσας μετ' ἐλαίου, ὡς ἔμμοτον γενέσθαι.

ρζ'. ***Ὡρικὸν ἐπὶ ἀρχομένης ἐλεφαντιάσεως.*** — Νίτρου, θείου ἀπύρου, κηροῦ $\overline{αα}$ Γ° β', πίσσης Γ° δ', ἐλαίου, ἐν ᾧ ῥοδοδάφναι ἑψήθησαν λίτρ. α'. Ἐγὼ δὲ τοῦ θείου Γ° ἡμίσ. ἔβαλον καὶ ἀντὶ τῆς πίσσης τῆς ὑγρᾶς ξηράν. Χρίσασθαι δὲ τὸ σῶμα ὅλον καὶ αὐτὴν τὴν ὄψιν καὶ ἐν ἡμέραις ι', ὡς ἂν ἀνακαθαρθῇ τὸ σῶμα, ὥστε θαυμάσαι ἡμᾶς. μετὰ δὲ τῶν ἑλκῶν ἐπούλωσιν ἔμιξα πίσσης ξηρᾶς Γ° β'.

ρη'. ***Πρὸς γοττάραν.*** — Λαβὼν λινόσπερμον πεφρυγμένον καὶ κοριάνου σπέρμα | καὶ f. 33v κολοφωνίαν καὶ ὀξίγγιον παλαιὸν καὶ βούτυρον. Τοῦτο δόκιμόν ἐστιν.

⟨ρθ'⟩ ***Πρὸς στεῖλαι ἔμετον.***— Σμύρναν (?), μαστίχην, διρίραν, καρυόφυλλον μετὰ ὕδατος ψυχροῦ πότιζε. ***Ἄλλο.*** Γύψον μετὰ κρόκου ᾠοῦ ἐπίχριε τὸν στόμαχον.

From the heading «ἐκ τῶν Μητροδώρας» one could conjecture, that the authoress has written also some part unknown to us. This may be corroborated by her reference to matter not found in the preserved work.

The short chapters of the gynaecological part gives a brief, but mostly incomplete, exposal of the symptoms of the illnesses under examination; at the most after the title of the chapter, followed only a simple explanation of the pretended useful therapeutical methods, extracts of the wellnown ancient greek medicine. But one finds also here and there some rare remarks noting approval of the proposed methods or making certain Metrodora's personel recommendation, or author's, whose the chapter was compilation.

The other parts of the work generaly speaking are rather compilations without any originality. Great interest is derived from of this work

---

[1] τέταρτον [2] ALEX. TRALL. Ibid II, 507. [3] Ibid 257.

as it shows its relation to other ancient similar treatises of Greek authors or authoresses and especially to this of Cleopatra, preserved to us in a latin translation, as also remarked by A. Cocchi. But I intend to came back this question later. Besides, the name of Cleopatra is cited in Metrodora's work in chapter νζ΄ (s. p. 57) under the title: «how to make the face bright», with the explanation that the mentioned mixture was use by Veronica (Cleopatra) the queen of Egypt.

Unfortunately we were ignorant of any detail of Metrodora's life. Her very name Metrodora is her real name or only a simple nickname, in connection to her gynaecological praxis and work (Μήτρα = womb and δῶρα from δωροῦμαι = make a present)?. As concerns the time when she lived, Prof. Dreichgräber cited[1] with a question mark the opinion that she lived to the first century during the Alexander period. To the doubt of this eminent author can also be brought forward some very certain facts from this very work of Metrodora, for instance the mention of Alexander of Tralles, in the margin of Folio 20, and the sentence: «ἐγὼ δὲ τὸ ἄλειμμα αὐτὸ ἐσκεψάμην ποιῆσαι καθάπερ Ἀλέξανδρος ἐχρᾶτο» (I have thought to prepare this ointment, as Alexander used), (s. p. 61, c. κζ΄), as well the chapters cited above, taken from his work by word.

From all these facts, we conclude that Metrodora was a authoress, who lived after the 6th A. D. century.

---

**ΔΙΚΑΙΟΝ. — Τοπικὰ νομικὰ ἔθιμα Βυτίνης καὶ τῶν περιχώρων αὐτῆς καὶ τῆς ἐπαρχίας Τριπόλεως (τῆς Ἀρκαδικῆς)** *ὑπὸ* ***Νίκου Α. Βέη (Bees).***

Ὅπως ἡ Νέα Ἑλληνικὴ Γλῶσσα καὶ καθ' ὅλου τὰ πατροπαράδοτα ἡμῶν Λαογραφικὰ Μνημεῖα ἀνάγονται κατὰ πολλὰ εἰς τὴν Ἑλληνιστικὴν περίοδον, οὕτω καὶ πολλὰ στοιχεῖα τοῦ καθ' ἡμᾶς ἐθιμογενοῦς δικαίου ἐμφανίζονται ὡσαύτως κατὰ τὴν Ἑλληνιστικὴν περίοδον. Παρὰ δὲ τὰ ἄλλως πως λεγόμενα ἡ Ἑλληνιστικὴ περίοδος δὲν εἶναι περίοδος καταπτώσεως, ἀλλ' ἀποτελεῖ πνευματικῶς καὶ ὑλικῶς κυριώτατον πρόδρομον τοῦ καθ' ὅλου νεωτέρου ἀνθρωπίνου πολιτισμοῦ. Ἡ δὲ σχετικὴ ἔρευνα ἔχει ἀποδείξει, ὅτι τὰ νομικὰ ἔθιμα τοῦ Ἑλληνικοῦ λαοῦ, κατὰ παράδοσιν μέχρι σήμερον σῳζόμενα, ἀνάγονται ἀκόμη καὶ εἰς χρόνους ἀρχαιοτέρους τῆς Ἑλληνιστικῆς περιόδου.

---

[1] In Pauly - Wissowa's, Real - encyclopaedia, article Metrodora l. c.